«ἔστι δὲ τυραννὶς μὲν μοναρχία, καθάπερ εἴρηται, δεσποτικὴ τῆς πολιτικῆς κοινωνίας, ὀλιγαρχία δ', ὅταν ὦσι κύριοι τῆς πολιτείας οἱ τὰς οὐσίας ἔχοντες, δημοκρατία δὲ τοὐναντίον, ὅταν τὸ μὴ *κεκτημένον οὐσίας πλῆθος*, ἀλλ' *ἄπορον*. πρώτη δ' ἀπορία πρὸς (περί;) τὸν διορισμόν ἐστιν. εἰ γὰρ εἶεν οἱ πλείους, ὄντες εὔποροι, κύριοι τῆς πόλεως, δημοκρατία δέ ἐστιν, ὅταν ᾖ κύριον τὸ πλῆθος, ὁμοίως δὲ πάλιν, *κἂν* (=καὶ ἄν) που *συμβαίνῃ* τοὺς ἀπόρους, ἐλάττους μὲν τῶν εὐπόρων, κρείττους δ' ὄντας, κυρίους εἶναι τῆς πολιτείας, ὅπου δ' ὀλίγον τὸ *πλῆθος κύριον*, ὀλιγαρχίαν εἶναί φασιν, οὐκ ἂν καλῶς δόξειεν διωρίσθαι τὰ περὶ τῶν πολιτειῶν. ἀλλὰ μήν, κἄν τις, συνθεὶς τῇ μὲν εὐπορίᾳ τὴν ὀλιγότητα, τῇ δ' ἀπορίᾳ τὸ πλῆθος, οὕτω *προσαγορεύῃ τὴν πολιτείαν*, ὀλιγαρχίαν μὲν ἐν ᾗ τὰς ἀρχὰς ἔχουσιν οἱ εὔποροι, ὀλίγοι τὸ πλῆθος ὄντες, δημοκρατίαν δὲ ἐν ᾗ οἱ ἄποροι, πολλοὶ τὸ πλῆθος ὄντες, ἄλλην ἀπορίαν ἔχει. τίνας γὰρ ἐροῦμεν τὰς ἄρτι λεχθείσας πολιτείας, *ταύτην* ἐν ᾗ πλείους οἱ εὔποροι καὶ ἐν ᾗ ἐλάττους οἱ ἄποροι, κύριοι δ' ἑκάτεροι τῶν πολιτειῶν, εἴπερ μηδεμία ἄλλη πολιτεία παρὰ τὰς εἰρημένας ἐστίν; ἔοικε τοίνυν ὁ λόγος ποιεῖν δῆλον, ὅτι τὸ μὲν ὀλίγους, ἢ πολλοὺς εἶναι κυρίους συμβεβηκός ἐστιν, τὸ μὲν ταῖς ὀλιγαρχίαις, τὸ δὲ ταῖς δημοκρατίαις, διὰ τὸ τοὺς μὲν εὐπόρους ὀλίγους, πολλοὺς δ' εἶναι τοὺς ἀπόρους πανταχοῦ· διὸ καὶ οὐ συμ-

βαίνει τὰς ῥηθείσας αἰτίας γίνεσθαι διαφοράς· ᾧ δὲ διαφέρουσιν ἥ τε δημοκρατία καὶ ἡ ὀλιγαρχία ἀλλήλων, πενία καὶ πλοῦτός ἐστιν, καὶ ἀναγκαῖον μέν, ὅπου ἂν ἄρχωσι διὰ πλοῦτον ἄν τ' ἐλάττους, ἄν τε πλείους, εἶναι ταύτην ὀλιγαρχίαν, ὅπου δ' οἱ ἄποροι, δημοκρατίαν, ἀλλὰ συμβαίνει, καθάπερ εἴπομεν, τοὺς μὲν ὀλίγους εἶναι, τοὺς δὲ πολλούς· εὐποροῦσι μὲν γὰρ ὀλίγοι, τῆς δὲ ἐλευθερίας μετέχουσι πάντες· δι' ἃς ⟨*μὲν*⟩ αἰτίας *ἀμφισβητοῦμεν* τὰ ⟨*περὶ*⟩ τῆς πολιτείας, ⟨ἐκ τούτων φανερόν⟩»· πρβλ. 1289 a, 8 κέφεξ. 24, καὶ 1290 a, 30-40 καὶ 1290 b, 1 κέξ.

1281 a, 39-42 «ὅτι δὲ δεῖ κύριον εἶναι μᾶλλον τὸ πλῆθος, ἢ τοὺς ἀρίστους μὲν ὀλίγους δέ, δόξειεν ἂν λύεσθαι καί τιν' ἔχειν ἀπορίαν τάχα δὲ κἂν ἀλήθειαν».

Ἡμεῖς ἀντὶ τῶν: «δόξειεν ἂν λύεσθαι — κἂν ἀλήθειαν» πειθόμεθα ἐξ ὧν προϊὼν λέγει ὁ Ἀριστοτέλης, ὅτι πρέπει νὰ γραφῇ οὕτω: «*δόξειεν ἂν λύεσθαι* ⟨*καὶ οὐκ ἂν*⟩ *ἔχοι* ἀπορίαν, τάχα δὲ *καὶ* ἀλήθειαν»· πρβλ. 1282 a, 23· «ταύτην μὲν τὴν ἀπορίαν τάχα δόξειέν τις ἂν οὕτω λύειν ἱκανῶς».

1282 a. 10-12 «εἰ γὰρ καὶ περὶ ἐνίων ἔργων καὶ τεχνῶν μετέχουσι καὶ τῶν ἰδιωτῶν τινες, ἀλλ' οὔ τι τῶν εἰδότων γε μᾶλλον».

Ἀναγνωστέον καθ' ἡμᾶς οὕτως: «*καίπερ* γὰρ (ἤ, καίτοι γὰρ) ἐνίων ἔργων καὶ τεχνῶν μετέχουσι καὶ τῶν ἰδιωτῶν τινες, ἀλλ' οὔ τι τῶν εἰδότων γε μᾶλλον». Ἀντὶ δὲ τοῦ: «*οὔ τι*» ἤκασεν ὁ σοφὸς Κοραῆς: «*οὔ τοι*», ἀλλὰ νομίζομεν, ὅτι καλῶς ἔχει τὸ: «οὔ τι» ἐνταῦθα· διότι συνηθεστάτη εἶναι ἡ σύνταξις τοῦ: «μᾶλλον» μετὰ τοῦ: «*τι*» (μᾶλλόν τι).

1282 b, 1-13 «ἡ δὲ πρώτη λεχθεῖσα ἀπορία ποιεῖ φανερὸν οὐδὲν οὕτως ἕτερον ὡς ὅτι δεῖ τοὺς νόμους εἶναι κυρίους κειμένους ὀρθῶς. τὸν ἄρχοντα δέ, ἄν τε εἷς ἄν τε πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι

καθόλου διορίσαι περὶ πάντων. ὁποίους μέντοι τινὰς δεῖ εἶναι τοὺς ὀρθῶς κειμένους νόμους, οὐδέν πω δῆλον, ἀλλ' ἔτι μένει τὸ πάλαι διαπορηθέν. [ἀλλὰ γὰρ κἂν ὁμοίως ταῖς πολιτείαις ἀνάγκη καὶ τοὺς νόμους φαύλους ἢ σπουδαίους εἶναι καὶ δικαίους ἢ ἀδίκους.] πλὴν τοῦτό γε φανερὸν ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι τοὺς νόμους.* ἀλλὰ μὴν εἰ τοῦτο, δῆλον ὅτι τοὺς μὲν κατὰ τὰς ὀρθὰς πολιτείας ἀναγκαῖον εἶναι δικαίους τοὺς δὲ κατὰ τὰς παρεκβεβηκυίας οὐ δικαίους».

Καὶ τὸ προκείμενον χωρίον, ὥσπερ ἄλλα οὐκ ὀλίγα ἐν τοῖς Πολιτικοῖς, ὅτι εἶναι τεταραγμένον καὶ ἀδιανόητον ἐν πολλοῖς, ἄνδρες ἐλλογιμώτατοι καὶ ἐντριβέστατοι περὶ τὰ Ἀριστοτελικὰ παρετήρησαν ἤδη, καὶ πολλαχῶς αὐτὸ νὰ θεραπεύσωσιν ἐπειράθησαν. Νομίζοντες δέ, ὅτι καὶ ἡμεῖς παραμυθούμεθά πως αὐτό, ἀναγινώσκομεν οὕτως:

«ἡ δὲ πρώτη λεχθεῖσα ἀπορία ποιεῖ φανερὸν οὐδὲν ἕτερον *πλὴν* τοῦτό γε, ὅτι δεῖ τοὺς νόμους εἶναι κυρίους κειμένους ὀρθῶς, τὸν ἄρχοντα δέ, ἄν τε εἷς ἄν τε πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους, περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι καθόλου διορίσαι περὶ πάντων. *Ἀλλὰ μὴν εἰ τοῦτό γε*, φανερόν, ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι τοὺς νόμους· ὁποίους μέντοι τινὰς δεῖ εἶναι τοὺς ὀρθῶς κειμένους νόμους, οὐδέν πω δῆλον, ἀλλ' ἔτι μένει τὸ πάλαι διαπορηθέν· ἀλλὰ γὰρ *ἂν* ὁμοίως ταῖς πολιτείαις ἀνάγκη καὶ τοὺς νόμους, δῆλον, ὅτι *τοὺς μὲν κατὰ τὰς ὀρθὰς πολιτείας ἀναγκαῖον εἶναι σπουδαίους καὶ δικαίους, τοὺς δὲ κατὰ τὰς παρεκβεβηκυίας φαύλους καὶ ἀδίκους*»· (πρβλ. 1264 α, 9· καὶ 1289 α, 12). Ἂν δέ, οὕτω θεραπεύσαντες τὸ χωρίον, ἐτύχομεν ἢ μὴ τοῦ ὀρθοῦ, ἄλλοι περὶ τούτου κρινόντων, παρ' ὧν εὐγνώμονες τὰ κρείττω ἀναμένομεν νὰ διδαχθῶμεν περί τε τῶν ἄλλων ἡμετέρων παρατηρήσεων καὶ περὶ τοῦ προκειμένου χωρίου.

Αὐτόθι στίχ. 18-21 «δοκεῖ δὲ πᾶσιν ἴσον τι τὸ δίκαιον εἶναι, καὶ μέχρι γέ τινος ὁμολογοῦσι τοῖς κατὰ φιλοσοφίαν λόγοις, ἐν οἷς διώρισται περὶ τῶν ἠθικῶν (τὶ γὰρ καὶ τισὶ τὸ δίκαιον, καὶ δεῖν τοῖς ἴσοις ἴσον εἶναι φασίν)».

Ἡ παρένθεσις πρέπει καθ' ἡμᾶς νὰ διήκῃ μέχρι τῶν: «καὶ τισὶ τὸ δίκαιον», ἐκτὸς δὲ παρενθέσεως νὰ εἶναι τὰ μετὰ ταῦτα· διότι ἡ σύνταξις, ὡς ἡμεῖς νομίζομεν, ἔχει οὕτως: «δοκεῖ δὲ πᾶσιν ἴσον τι τὸ δίκαιον εἶναι, καὶ μέχρι γέ τινος ὁμολογοῦσι τοῖς — λόγοις, ἐν οἷς — περὶ τῶν ἠθικῶν (τί γὰρ καὶ τισὶ τὸ δίκαιον), καὶ φασὶν δεῖν τοῖς ἴσοις ἴσον εἶναι». Πρὸς ταῦτα δὲ εὐθὺς ἐπιφέρεται: «ποίων δ' ἰσότης ἐστὶ καὶ ποίων ἀνισότης, δεῖ μὴ λανθάνειν».

1283 a, 26 «ἐπεὶ δ' οὔτε πάντων ἴσον ἔχειν δεῖ τοὺς ἴσους ἕν τι μόνον ὄντας οὔτε ἄνισον τοὺς ἀνίσους καθ' ἕν, ἀνάγκη πάσας εἶναι τὰς τοιαύτας πολιτείας παρεκβάσεις».

Ὅτι ἀντὶ τοῦ: «*πάντων*» γραπτέον «*πάντας*», ἐξ αὐτῶν τῶν λεγομένων πρόδηλον. Μετὰ δὲ τὰ: «*τοὺς ἴσους*» ἐξερρύη ἡ πρόθεσις «καθ'». Ἡ δὲ σύνταξις εἶναι αὕτη: «ἐπεὶ δ' οὔτε *πάντας* δεῖ ἴσον ἔχειν τοὺς ἴσους ⟨καθ'⟩ ἕν τι μόνον ὄντας, οὔτε ἄνισον (δεῖ ἔχειν) τοὺς ἀνίσους καθ' ἕν, κτλ.»· πρβλ. Θ(Ε) 1301 a, 26 «... πολλαὶ γεγένηνται πολιτεῖαι πάντων μὲν ὁμολογούντων τὸ δίκαιον καὶ τὸ κατ' ἀναλογίαν ἴσον, τούτου δ' ἁμαρτανόντων, ὥσπερ εἴρηται καὶ πρότερον· δῆμος μὲν γὰρ ἐγένετο ἐκ τοῦ ἴσους ὁτιοῦν (γράφ. *καθ' ὁτιοῦν*) ὄντας οἴεσθαι ἁπλῶς ἴσους εἶναι (ὅτι γὰρ ἐλεύθεροι πάντες ὁμοίως, ἁπλῶς ἴσοι εἶναι νομίζουσιν) ὀλιγαρχία δὲ ἐκ τοῦ ἀνίσους ἕν τι (γράφ. *καθ'* ἕν τι) ὄντας ὅλως εἶναι ἀνίσους ὑπολαμβάνειν (κατ' οὐσίαν γὰρ ἄνισοι ὄντες, ἁπλῶς ἄνισοι ὑπολαμβάνουσιν εἶναι)· εἶτα οἳ μὲν ὡς ἴσοι ὄντες *πάντων* (γράφ. *πάντες*) τῶν ἴσων ἀξιοῦσι μετέχειν· οἳ δ' ὡς ἄνισοι ὄντες πλεονεκτεῖν ζητοῦσι, τὸ γὰρ πλεῖον ἄνισον» 1301 b, 35 κ.ἑ. 1318 α, καὶ ἑ. 1284 a, 9-17. Ἠθικ. Νικομ. σελ, 84-85.

Αὐτόθι στίχ. 35 «ἡ δ' εὐγένεια παρ' ἑκάστοις οἴκοι τίμιος· ἔτι διότι βελτίους εἰκὸς τοὺς ἐκ βελτιόνων,».

Ὁ κ. Fr. Susemihl ἐν μὲν τῇ πρώτῃ ἐκδόσει, προσθεὶς ἐν ταῖς κριτικαῖς παρατηρήσεσι μετὰ τὸ: «οἴκοι» τὸ: habetur ἐκ τῆς λατινικῆς μεταφράσεως τοῦ Gulielmus, ἐσημειώσατο τάδε: «recte,

ni fallor, at quænam fuit vox Græca? fuitne ποιεῖται?» ἐν δὲ τῇ γ' οὐδὲν παρατηρεῖ, ἢ μόνον ἀντὶ κόμματος ἄνω τελείαν τίθησι μετὰ τὸ: «τίμιος». Ἡμεῖς δ' εἰκάζομεν, ὅτι ὁ Guilelmus ἀνέγνω οὐχὶ «οἴκοι», ἀλλ' «*ἔοικε*» καὶ τὸ ῥῆμα τοῦτο μετέφρασε διὰ τοῦ habetur· ἀφαιροῦντες δὲ τὴν ἄνω τελείαν μετὰ τὸ: «τίμιος» καὶ ἀντὶ τῶν: «*ἔτι διότι*» ὑποπτεύοντες, ὅτι πρέπει νὰ γραφῇ: «*εἶναι διὰ τὸ*», ἀποκαθίσταμεν ὡς ἑξῆς τὸ χωρίον: «ἡ δ' εὐγένεια παρ' ἑκάστοις ⟨*ἔοικε*⟩ τίμιος ⟨*εἶναι διὰ τὸ*⟩ βελτίους εἰκὸς τοὺς ἐκ βελτιόνων,»· πρβλ. 1255 a, 32 «τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ εὐγενείας· αὐτοὺς μὲν γὰρ *οὐ μόνον παρ' αὐτοῖς* ἀλλὰ *πανταχοῦ* νομίζουσιν, τοὺς δὲ βαρβάρους *οἴκοι* μόνον».

Αὐτόθι στίχ. 37-40 «ὁμοίως δὴ φήσομεν δικαίως καὶ τὴν ἀρετὴν ἀμφισβητεῖν **, κοινωνικὴν γὰρ ἀρετὴν εἶναί φαμεν τὴν δικαιοσύνην, ᾗ πάσας ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας».

Τὸ μετὰ τὸ «ἀμφισβητεῖν» κενὸν ὁ κ. Susem. εἰκάζει, ὅτι πρέπει νὰ συμπληρωθῇ διὰ τῶν: ⟨καὶ μάλιστα τὴν δικαιοσύνην⟩ vel simile quid· καθ' ἡμᾶς συμπληρωτέον διὰ τῶν: ⟨*τὴν πολιτικὴν*⟩.

Αὐτόθι 40 «ἀλλὰ μὴν καὶ οἱ πλείους πρὸς τοὺς ἐλάττους, καὶ γὰρ κρείττους καὶ πλουσιώτεροι καὶ βελτίους εἰσὶν, ὡς λαμβανομένων τῶν πλειόνων πρὸς τοὺς ἐλάττους».

Ὁ κ. Stahr ᾔκασεν ἀντὶ τοῦ: «*λαμβανομένων*» «συλλαμβανομένων»· ἡμεῖς ὑποτοπάζομεν «⟨*οὕτως ἁπλῶς*⟩» ἀντὶ τοῦ «ὡς» καὶ τηροῦμεν τό: «λαμβανομένων», ὡς καλῶς ἔχον.

1283 b, 8-20 «ἀλλ' ὅμως σκοποῦμεν, ὅταν περὶ τὸν αὐ-
«τὸν ταῦθ' ὑπάρχῃ χρόνον, πῶς διοριστέον.
«[** εἰ δὴ τὸν ἀριθμὸν εἶεν ὀλίγοι πάμπαν οἱ τὴν ἀρε-
«τὴν ἔχοντες, τίνα δεῖ διελεῖν τρόπον; ἢ τὸ ὀλίγοι πρὸ
«τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ διοικεῖν τὴν πόλιν,
«τοσοῦτοι τὸ πλῆθος ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν;]

«ἔστι δ' ἀπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦν-
« τας περὶ τῶν πολιτικῶν τιμῶν· δόξειαν γὰρ ⟨ἂν⟩ οὐδὲν
« λέγειν δίκαιον οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν, ὁ-
« μοίως δὲ καὶ οἱ κατὰ γένος· δῆλον γὰρ ὡς εἴ τις πάλιν
« εἷς πλουσιώτερος ἁπάντων ἐστί, [δῆλον] ὅτι κατὰ τὸ αὐτὸ
« δίκαιον τοῦτον ἄρχειν τὸν ἕνα ἁπάντων δεήσει, ὁμοίως
« δὲ καὶ τὸν εὐγενείᾳ διαφέροντα τῶν ἀμφισβητούντων δι'
« ἐλευθερίαν».

Τὸ χωρίον, οὕτως ἀνεγνωσμένον, πολλαχοῦ φαίνεται συγκεχυμένον καὶ λελωβημένον· διὸ ὁ Susemihl, δι' ἀγκυλῶν ἐγκλείσας τοὺς στίχους 10-13 καὶ θεὶς ἀστερίσκους ἐν τῇ ἀρχῇ τοῦ 10, ἐσημειώσατο μετὰ τὸ τέλος αὐτῶν τάδε: «10. εἰ — 13. αὐτῶν lacunæ signo præmisso post 1284 α, 3 ἀρετήν vel potius ante 1284 a, 4». Ἡμεῖς δὲ νομίζοντες, ὅτι οἱ δι' ἀγκυλῶν ἐγκλειόμενοι στίχοι κατὰ χώραν ἐνταῦθα κεῖνται, ὡς στενῶς μετὰ τῶν ἡγουμένων συνδεόμενοι, ἀναγινώσκομεν τὸ χωρίον, ὡς κατωτέρω παρατιθέμεθα, δηλοῦντες διὰ παχέων γραμμάτων τὰς μεταβολάς, αἵτινες καθ' ἡμᾶς ἐπενεκτέαι ἐκρίθησαν. Ἠθέλομεν δὲ ὑπερβῆ τὰ ὅρια ἧς ἔχομεν προθέσεως, μετ' εὐλαβείας καὶ ἐνδοιασμοῦ ἀνακοινούμενοι τὰς εἰς τὰ πολιτικὰ τοῦ Ἀριστοτέλους ἡμετέρας διορθώσεις, ἐὰν ἐπεχειροῦμεν διὰ μακρῶν νὰ εἴπωμεν καὶ τὸν λόγον, δι' ὃν καὶ τὸ εἰρημένον χωρίον, ὥσπερ καὶ ἄλλα τινὰ τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτό, ἀναγινώσκομεν καθὼς εὐθὺς παρατιθέμεθα. Περί τε τοῦ προκειμένου δὲ χωρίου καὶ περὶ τῶν ἄλλων διεξοδικώτερον, ἂν ὁ Θεὸς θέλῃ, θὰ πραγματευθῶμεν εἰς ἄλλοτε.

Ἔχει δὲ καθ' ἡμᾶς τὸ χωρίον οὕτως: «ἀλλ' **ἡμεῖς** σκοποῦμεν, ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρόνον, πῶς διοριστέον. Ἔστι ⟨**γὰρ**⟩ **ἀπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦντας περὶ τῶν πολιτικῶν τιμῶν**· εἰ δὴ τὸν ἀριθμὸν εἶεν ὀλίγοι πάμπαν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνα δεῖ διελεῖν τρόπον; τὸ ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ διοικεῖν τὴν πόλιν, ἢ ⟨**τὸ**⟩ τοσοῦτοι τὸ πλῆθος, ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν; **δόξειαν γὰρ** ⟨**ἂν**⟩ **οὐδὲν λέγειν δίκαιον οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν, ὁμοίως δὲ καὶ οἱ κατὰ γένος· εἰ** γάρ τις πά-

λιν εἷς πλουσιώτερος ἁπάντων ἐστί, **δῆλον** ὅτι κατὰ τὸ αὐτὸ δίκαιον ⟨**τούτων**⟩ ἄρχειν τὸν ἕνα ἁπάντων δεήσει, ὁμοίως δὲ καὶ τὸν εὐγενείᾳ διαφέροντα τῶν ἀμφισβητούντων δι' ἐλευθερίαν».

Διὰ τί ἐγράψαμεν «*ἡμεῖς*» ἀντὶ τοῦ: *ὅμως*, πρβλ. 1270 a, 9· «ἀλλ' *ἡμεῖς* οὐ τοῦτο σκοποῦμεν, τίνι δεῖ συγγνώμην ἔχειν ἢ μὴ ἔχειν, ἀλλὰ περὶ τοῦ ὀρθῶς καὶ μὴ ὀρθῶς».

1284 a, 41 «ὁ δὲ Περσῶν βασιλεὺς Μήδους καὶ Βαβυλωνίους καὶ τῶν ἄλλων τοὺς πεφρονηματισμένους διὰ τὸ γενέσθαι ποτ' ἐπ' ἀρχῆς ἐπέκοπτε πολλάκις».

Ὁ Leo. Aretinus, καθὼς ἐσημειώσατο ὁ Susemihl ἐν τῇ α' ἐκδόσει, μεθηρμήνευσε λατινιστὶ τό: «*ἐπέκοπτε*» διὰ τοῦ: «*contrivit*»· ἐκ τούτου ἡμεῖς εἰκάζομεν, ὅτι ὁ Aretinus δὲν ἀνέγνω: «ἐπέκοπτε», ἀλλά: «*κατέτριψε*». Διὸ προτιμῶμεν ἐνταῦθα τοῦτο ἀντ' ἐκείνου· πρβλ. Θουκ. Η, 46, 2 «εὐτελέστερα δὲ τάδ' εἶναι, βραχεῖ μορίῳ τῆς δαπάνης καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας αὐτοὺς περὶ ἑαυτοὺς τοὺς Ἕλληνας *κατατρῖψαι*» καὶ Η, 56, 2. Τὸ δέ: *κατατρίβειν* ἀντιστοιχεῖ πληρέστατα πρὸς τὸ λατινικόν: *conterere*.

1287 a, 23 - 27 «ἀλλὰ μήν, ὅσα γε μὴ δοκεῖ διορίζειν ὁ νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτο γνωρίζειν· ἀλλ' ἐπίτηδες παιδεύσας ὁ νόμος ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας».

Ἂν ἀρχικῶς μετὰ τό: «*δύναιτο*» ὑπῆρχε τὸ ἀντικείμενον αὐτοῦ, ὡς τοιοῦτον οὐχὶ τό: «*γνωρίζειν*», ἀλλὰ μᾶλλον: «*ὁρίζειν*», ἤ: «*γε ὁρίζειν*» θὰ ἥρμοζεν· διὸ εἰκάζομεν, ὅτι ἡ ἀβλεψία τοῦ ἀντιγραφέως τό: ⟨ὁρίζειν⟩ ἤ: ⟨*γε ὁρίζειν*⟩ μετεποίησεν εἰς «*γνωρίζειν*». Ἀναγνωστέον λοιπὸν ἢ οὕτως: «οὐδ' ἄνθρωπος ἂν δύναιτο»· (νοουμένου ἐκ τοῦ ἀνωτέρω τοῦ ἀπαρεμφάτου «*διορίζειν*»), ἢ οὕτως: «οὐδ' ἄνθρωπος ἂν δύναιτό ⟨γε ὁρίζειν, ἤ, διορίζειν⟩».

Μετὰ δὲ τό: «*ἐπίτηδες*» ὅσα ἐν τῇ πρώτῃ ἐκδόσει ὁ F. Susemihl ἐσημειώσατο, περιττὸν κρίνομεν ἐνταῦθα νὰ ἐπαναλάβωμεν, μεταφέρομεν δὲ μόνον ὅσα ἐν τῇ τρίτῃ παρατηρεῖ, ἅπερ ἔχουσιν

οὕτως: «ἐπίτηδες] universale Guil. e glossa, nisi fallor, [codicis, unde perperam τὰ μὲν καθόλου ante ἐπίτηδες inseruit in commentario Schneider, τὸ καθόλου Susem. 1. 2. et post h.v. Coraes». Κατὰ ταῦτα δὲ παρέλιπε νὰ προσλάβῃ ἐν τῇ γ' ἐκδόσει τό: «*τὸ καθόλου*». Ἡμεῖς δ' ὑπολαμβάνομεν ὅτι, ὅπως ἔχωμεν πλήρη καὶ ἀνελλιπῆ τὴν ἔννοιαν τοῦ χωρίου, πρέπει νὰ τεθῇ πρὸ τοῦ: «*ἐπίτηδες*» τό: «*τὸ καθόλου*», ἀντὶ δὲ τῶν: «*ἐπίτηδες παιδεύσας*» ἀναγνωστέον τό: «*ἐπιτηδεύσας*». Οὕτω δὲ ἀποκαθισταμένου τοῦ χωρίου, ἔχομεν πλήρη τὴν ἔννοιαν, ἣν ὁ Ἀριστοτέλης ἐν αὐτῷ ἐκφράζει συμφώνως πρός τε τὰ ἡγούμενα καὶ πρὸς ἃ αὐτὸς ἀλλαχοῦ λέγει· πρβλ. 1282 b, 3: «τὸν ἄρχοντα δέ, ἄν τε εἷς, ἄν τε πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους, περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι *καθόλου* διορίσαι περὶ πάντων». Ἀναγνωστέον ἄρα καὶ τὸ ἀνωτέρω χωρίον οὕτως: «ἀλλὰ μὴν ὅσα γε μὴ δοκεῖ διορίζειν ὁ νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτό ⟨γε ὁρίζειν⟩· ἀλλὰ ⟨τὸ καθόλου⟩ *ἐπιτηδεύσας* ὁ νόμος ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας». Πῶς δὲ ἐκ τοῦ: «*ἐπιτηδεύσας*» ἀνέτειλαν τά: «*ἐπίτηδες παιδεύσας*», τοῦτο εἶναι εὔδηλον τοῖς περὶ τὴν παλαιογραφικὴν ἐμπείροις οὖσιν.

1286 a, 8 «ἀρχὴ δ' ἐστὶ τῆς ζητήσεως αὕτη, πότερον συμφέρει μᾶλλον . . .».

Ἀντὶ τοῦ: «*ἐστὶ*» μὴ μᾶλλον: «*ἔστω*;».

Αὐτόθι στίχ. 38 καὶ ἑφ. «εἰ δὲ δεῖ μὴ τοῦτο ῥᾴδιον ἐν πολλοῖς, ἀλλ' εἰ πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται, πότερον ὁ εἷς ἀδιαφθορώτερος ἄρχων, ἢ μᾶλλον οἱ πλείους μὲν τὸν ἀριθμόν, ἀγαθοὶ δὲ πάντες».

Ἐκ τῆς ἀποδόσεως τοῦ ὑποθετικοῦ λόγου: «πότερον ὁ εἷς ἀδιαφθορώτερος, ἢ μᾶλλον *οἱ* πλείους» καθὼς καὶ ἐκ τῶν εὐθὺς κατωτέρω: «ἢ δῆλον, ὡς οἱ πλείους», ὑποπτεύομεν, ὅτι τὸ πρὸ τοῦ: «*πλείους*» *εἰ* πρέπει νὰ γραφῇ ⟨*οἱ*⟩, συνυπακουομένου ἐκ τῶν ἡγουμένων τοῦ *εἰ* οὕτως: «*ἀλλ' εἰ* ⟨*οἱ*⟩ *πλείους εἶεν* . . .».

Δ′ (Η)

1323 a, 34 «ἀλλὰ ταῦτα μὲν λεγόμενα ὥσπερ πάντες ἂν συγχωρήσειαν, διαφέρονται δ' ἐν τῷ ποσῷ καὶ ταῖς ὑπεροχαῖς».

Ὅτι τὸ *ὥσπερ* πρὸ τοῦ *πάντες* διορθωτέον διὰ τοῦ: *οὕτω*, διδάσκουσι τὰ ἀνωτέρω, πρὸς ἃ στενώτατα τὸ προκείμενον χωρίον συνδέεται· διότι κατὰ τὰ ἀνωτέρω «*οὐδεὶς ἀμφισβητήσειεν ἄν*, ὡς οὐ — πάντα ταῦτα (τοῦτ' ἔστι τά τε ἐκτὸς καὶ τὰ ἐν τῷ σώματι καὶ τὰ ἐν τῇ ψυχῇ) ὑπάρχειν τοῖς μακαρίοις χρή· *οὐδεὶς* γὰρ ἂν *φαίη* μακάριον τὸν μηδὲν μόριον ἔχοντα ἀνδρίας μηδὲ σωφροσύνης μηδὲ δικαιοσύνης μηδὲ φρονήσεως, ἀλλὰ δεδιότα μὲν — ὁμοίως δὲ καὶ τὰ περὶ τὴν διάνοιαν οὕτως ἄφρονα καὶ διεψευσμένον, ὥσπερ τι παιδίον, ἢ μαινόμενον». Κατὰ ταῦτα τὸ προκείμενον χωρίον, ἂν οὕτως ἀναγνωσθῇ: «ἀλλὰ ταῦτα μὲν λεγόμενα ⟨οὕτω⟩ (καθὼς δηλονότι ἐν τοῖς ἀνωτέρω ἐκτίθενται) πάντες ἂν συγχωρήσειαν, διαφέρονται δὲ ἐν τῷ ποσῷ καὶ ταῖς ὑπεροχαῖς», συντακτικῶς εὐοδοῦται καὶ ἡ προσήκουσα ἔννοια δίδοται.

1323 b, 7-20 «τὰ μὲν γὰρ ἐκτὸς ἔχει πέρας, ὥσπερ ὄργανόν τι (πᾶν γὰρ τὸ χρήσιμόν ἐστιν, ὧν τὴν ὑπερβολὴν ἢ βλάπτειν ἀναγκαῖον ἢ μηδὲν ὄφελος εἶναι αὐτῶν τοῖς ἔχουσιν)· τῶν δὲ περὶ ψυχὴν ἕκαστον ἀγαθῶν, ὅσῳ περ ἂν ὑπερβάλλῃ, τοσούτῳ μᾶλλον χρήσιμον [εἶναι], εἰ δεῖ καὶ τούτοις ἐπιλέγειν μὴ μόνον τὸ καλόν, ἀλλὰ καὶ τὸ χρήσιμον. ὅλως τε δῆλον ὡς ἀκολουθεῖν φήσομεν τὴν διάθεσιν τὴν ἀρίστην ἑκάστου πράγματος πρὸς ἄλληλα κατὰ τὴν ὑπεροχήν, ἥν περ εἴληχε διάστασιν ὧν φαμεν εἶναι αὐτὰς ταύτας διαθέσεις. ὥστ' εἴπερ ἐστὶν ἡ ψυχὴ τιμιώτερον καὶ τῆς κτήσεως καὶ τοῦ σώματος κα ἁπλῶς καὶ ἡμῖν, ἀνάγκη καὶ τὴν διάθεσιν τὴν ἀρίστη ἑκάστου ἀνάλογον τούτων ἔχειν. ἔτι δὲ καὶ τῆς ψυχῆς

ἕνεκεν αἱρετὰ πέφυκε ταῦτα καὶ δεῖ πάντας αἱρεῖσθαι τοὺς εὖ φρονοῦντας».

Ὁποίας μεταβολὰς καὶ διορθώσεις εἰς τὸ προκείμενον χωρίον ἐπηνέγκαμεν, θὰ ἴδῃ εὐθὺς κατωτέρω ὁ ἀναγνώστης, ὅστις ἐκ τῆς πρὸς ἄλληλα παραθέσεως θὰ κρίνῃ, ἂν αὗται ἔτυχον καὶ κατὰ πόσον τοῦ ὀρθοῦ. Καθ' ἡμᾶς λοιπὸν τὸ χωρίον ἀναγνωστέον οὕτως:

«τὰ μὲν γὰρ ἐκτὸς ἔχει πέρας, πᾶν δὲ τὸ χρήσιμον ⟨ὥσπερ ὄργανόν ἐστιν⟩, ὧν τὴν ὑπερβολὴν ἢ βλάπτειν ἀναγκαῖον, ἢ μηδὲν ὄφελος εἶναι αὐτῶν τοῖς ἔχουσιν· τῶν δὲ περὶ ψυχὴν ἕκαστον ἀγαθῶν, ὅσῳ περ ἂν ὑπερβάλλῃ, τοσούτῳ μᾶλλον χρήσιμον ⟨ἐστίν⟩, εἰ δεῖ καὶ τούτοις ἐπιλέγειν μὴ μόνον τὸ καλόν, ἀλλὰ καὶ τὸ χρήσιμον. ὅλως τε ⟨δὴ⟩ ἀκολουθεῖν φήσομεν τὴν διάθεσιν τὴν ἀρίστην ἑκάστου πράγματος πρὸς ἄλληλα κατὰ τὴν ὑπεροχήν, ἥν περ εἴληφε ⟨διὰ ταῦτα⟩, ὧν φαμεν εἶναι ⟨αὐτὰ⟩ διαθέσεις· ὥστ' εἴπερ ἐστὶν ἡ ψυχὴ τιμιώτερον καὶ τῆς κτήσεως καὶ τοῦ σώματος καὶ ἁπλῶς καὶ ἡμῖν, ἀνάγκη καὶ τὴν διάθεσιν τὴν ἀρίστην ⟨ἕκαστον⟩ ἀνάλογον τούτων ἔχειν· ἔτι δὲ καὶ τῆς ψυχῆς ἕνεκεν αἱρετὰ πέφυκε ταῦτα καὶ δεῖ ⟨ταῦτα⟩ αἱρεῖσθαι τοὺς εὖ φρονοῦντας».

Καὶ περὶ μὲν τῆς ἐννοίας τοῦ: «πᾶν δὲ τὸ χρήσιμον ὥσπερ ὄργανον ἐστὶν» (καθὼς ἡμεῖς ἀναγινώσκομεν) πρβλ. Ἠθ. Νικομ. ἐκδ. Bek. σελ. 13, στίχ. 5 καὶ σελ. 14, στίχ. 6-8· περὶ δὲ τῆς καθ' ἡμᾶς γραφῆς «ὅλως τε δὴ» ἀντὶ τῆς τοῦ κειμένου «ὅλως τε δῆλον» πρβλ. Πολιτ. 1304 a, 33 καὶ Ἠθ. Νικομ. σελ. 129 VII, 9, 33· ἵνα εἰς τὰ δύω ταῦτα μόνον περιορισθῶμεν χωρία.

1324 a, 8 «ὅσοι γὰρ ἐν πλούτῳ τὸ ζῆν εὖ τίθενται».

Νομίζομεν ὅτι ἐξέπεσε πρὸ τοῦ *γὰρ* τό: ⟨τε⟩· πρβλ. στίχ. 10 καὶ στίχ. 12: «ὅσοι τε τὸν τυραννικὸν βίον..,» καί: «εἴ τέ τις τὸν ἕνα δι' ἀρετὴν . . . ».

Αὐτόθι στίχ. 13-17 «[ἀλλὰ ταῦτ' ἤδη δύο ἐστὶν ἃ δεῖται σκέψεως, ἓν μὲν πότερος αἱρετώτερος βίος —, ἔτι δὲ τίνα πολιτείαν θετέον καὶ ποίαν διάθεσιν κτλ.».

Ἀντὶ τοῦ: *ἔτι* γραπτέον ἤ: ⟨ἕν⟩, ἤ: ⟨ἕτερον⟩· πρβλ. 1285 b, 37 «ὥστε τὸ σκέμμα περὶ δυοῖν ἐστίν, ἓν μὲν πότερον συμφέρει— ἓν δὲ πότερόν ποτε κτλ.».

Αὐτόθι στίχ. 19 καὶ ἑφ. «ἐπεὶ δὲ τῆς πολιτικῆς διανοίας καὶ θεωρίας τοῦτ' ἐστὶν ἔργον, ἀλλ' οὐ τὸ περὶ ἕκαστον αἱρετόν, ἡμεῖς δὲ ταύτην νῦν προῃρήμεθα τὴν σκέψιν, ἐκεῖνο μὲν [[γὰρ]] πάρεργον ἂν εἴη τοῦτο δ' ἔργον τῆς μεθόδου ταύτης».

Καθ' ἡμᾶς ἡ κυρία πρότασις ἐν τῷ προκειμένῳ χωρίῳ εἶναι οὐχὶ τά: «ἐκεῖνο μὲν ἂν .. εἴη ..», ἀλλά: «ἡμεῖς .. προῃρήμεθα ..»· διὸ περιττὸν τό: *δὲ* μετὰ τό: ἡμεῖς καὶ τηρητέον τό: *γάρ*.

Αὐτόθι στίχ. 23-24 «ὅτι μὲν οὖν ἀναγκαῖον εἶναι πολιτείαν ἀρίστην ταύτην καθ' ἣν τάξιν κἂν ὁστισοῦν ἄριστα πράττοι».

Ἢ πρέπει καθ' ἡμᾶς ἡ λέξις: «*τάξιν*» νὰ διαγραφῇ, ἢ νὰ ἀναγνωσθῇ ὡς ἑξῆς τὸ χωρίον: «ὅτι μὲν οὖν ἀναγκαῖον [εἶναι] πολιτείαν ⟨τὴν⟩ ἀρίστην ταύτην ⟨ἔχειν τὴν τάξιν⟩, καθ' ἣν κἂν ὁστισοῦν κτλ.».

1324 b, 13-15 «καθάπερ ἐν Καρχηδόνι φασὶ τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν στρατεύσωνται στρατείας».

Ἀναγνωστέον: «⟨*ὅσοι*⟩» ἀντί: ὅσας· τοῦτ' ἐστί: «τούτους τὸν ἐκ τῶν κρίκων (;) κόσμον λαμβάνειν, ⟨ὅσοι⟩ ἂν στρατεύσωνται στρατείας».

Αὐτόθι στίχ. 17 «ἐν δὲ Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τινι σκύφον περιφερόμενον ...».

Μὴ ἀναγνωστέον ἀντὶ τῶν: «*σκύφον περιφερόμενον*» (ἀνθ' ὧν ὁ Schneider ἤκασε «σκύφου περιφερομένου»), «⟨ἐκ σκύφου περιφερομένου⟩» κατὰ τά: «οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ» (Πλατ. Πολιτ.

417) καί: «καὶ ἐκ χρυσῶν πίνομεν φιαλῶν» (Ξενοφ. Κ. Π. Ε, 3, 7); ἢ τά: «πίνειν σκύφον» εἶναι κατὰ τὸ Ὁμηρικὸν «κύπελλα οἴνου πινέμεναι» (Ἰλ. Δ, 345) καὶ τὸ κοινῶς λεγόμενον: πίνω ἕνα ποτήρι ἢ δύο κτλ.;

Αὐτόθι στίχ. 24 - 25 «... εἰ τοῦτ' ἐστὶν ἔργον τοῦ πολιτικοῦ, τὸ δύνασθαι θεωρεῖν ὅπως ἄρχῃ καὶ δεσπόζῃ τῶν πλησίον ...».

Ἡ ὁριστικὴ μᾶλλον ἁρμόζει ἀντὶ τῆς ὑποτακτικῆς: «ἄρχῃ καὶ δεσπόζῃ»· διότι ὁ τρόπος, καὶ οὐχὶ ὁ σκοπὸς δηλοῦται διὰ τοῦ ὅπως· ἔπιθ. 1325 a, 8 «τοῦ δὲ νομοθέτου τοῦ σπουδαίου ἐστὶ τὸ θεάσασθαι πόλιν καὶ γένος ἀνθρώπων — ζωῆς ἀγαθῆς πῶς *μεθέξουσι*».

1325 a, 16 καὶ ἑφ «πρὸς δὲ τοὺς ὁμολογοῦντας μὲν τὸν μετ' ἀρετῆς εἶναι βίον αἱρετώτατον, διαφερομένους δὲ περὶ τῆς χρήσεως αὐτοῦ, λεκτέον ἡμῖν πρὸς ἀμφοτέρους αὐτούς (οἱ μὲν γὰρ ἀποδοκιμάζουσι...)»

Τό: «*αὐτοὺς*»: ὅτι παρέλκει, συμφανές· διὸ ἢ διαγραπτέον, ἢ ἀναγνωστέον μετὰ τά: «(οἱ μὲν γὰρ» ἀλλ' οὕτως: «οἱ μὲν γὰρ ⟨αὐτῶν⟩».

Αὐτόθι στίχ. 19 - 21 «νομίζοντες τόν [τε] τοῦ ἐλευθέρου βίον ἕτερόν τινα εἶναι τοῦ πολιτικοῦ καὶ πάντων αἱρετώτατον, οἳ δὲ τοῦτον ἄριστον·».

Ὁ Spengel. δι' ἀγκυλῶν ἐνέκλεισε τό: *τε*· ἡμεῖς δ' ὑπολαμβάνοντες, ὅτι τοῦτο πρέπει νὰ τεθῇ μετὰ τό: «*ἕτερον*», ἀντὶ δὲ τοῦ: «*πολιτικοῦ*» γράφοντες «*δεσποτικοῦ*», ὡς ἑξῆς ἀναγινώσκομεν τὸ χωρίον: «νομίζοντες τὸν τοῦ ἐλευθέρου βίον ἕτερόν ⟨τέ⟩ τινα εἶναι τοῦ ⟨δεσποτικοῦ⟩ καὶ πάντων αἱρετώτατον, οἱ δὲ τοῦτον (τοῦτ' ἔστι τὸν δεσποτικὸν) ἄριστον». Ὅτι δὲ τὸ «*πολιτικοῦ*» ἀντικαταστατέον διὰ τοῦ «*δεσποτικοῦ*», διδασκόμεθα ἐκ τῶν εὐθὺς κατωτέρω, ἐν οἷς λέγεται: «ὁ τοῦ ἐλευθέρου βίος *τοῦ δεσποτικοῦ* ἀμείνων (στίχ. 24)».

Αὐτόθι στίχ. 23 καὶ ἐφεξ. «ὅτι τὰ μὲν ἀμφότεροι λέγουσιν ὀρθῶς, τὰ δὲ οὐκ ὀρθῶς, οἱ μὲν ὅτι ὁ τοῦ ἐλευθέρου βίος τοῦ δεσποτικοῦ ἀμείνων· τοῦτο γὰρ ἀληθές·»

Ὅτι καὶ τὸ χωρίον τοῦτο, ὥσπερ ἄλλα, περί τε τὴν στίξιν καὶ τὴν πρὸς τὰ ἡγούμενα καὶ τὰ ἑπόμενα πλοκὴν ἀνωμάλως ἔχει, εἶναι δῆλον· κάλλιστα δ' ἔχει καὶ πρὸς τὰ ἡγούμενα καὶ πρὸς τὰ ἑπόμενα, ἂν ἀναγνωσθῇ καὶ στιχθῇ οὕτως: «ὅτι τὰ μὲν ἀμφότεροι λέγουσιν ὀρθῶς, τὰ δὲ οὐκ ὀρθῶς· ⟨ὅτι μὲν γὰρ⟩ ὁ τοῦ ἐλευθέρου βίος τοῦ δεσποτικοῦ ἀμείνων, τοῦτο ἀληθές·—τὸ μέν τοι νομίζειν πᾶσαν ἀρχὴν εἶναι δεσποτείαν οὐκ ὀρθόν»· (στίχ. 27).

1325 b, 21 «μάλιστα δὲ πράττειν λέγομεν κυρίως καὶ τῶν ἐξωτερικῶν πράξεων τοὺς ταῖς διανοίαις ἀρχιτέκτονας».

Ἡμεῖς διορθούμεθα τὸ χωρίον ὧδε, ἀντὶ τῶν: «κυρίως καὶ» γράφοντες: «⟨καὶ κυρίους⟩»· «μάλιστα δὲ πράττειν λέγομεν καὶ ⟨κυρίους⟩ τῶν ἐξωτερικῶν πράξεων (*εἶναι*) τοὺς ταῖς διανοίαις ἀρχιτέκτονας».

Αὐτόθι στίχ. 33 καὶ ἐφ. «ἐπεὶ δὲ πεφροιμίασται τὰ νῦν εἰρημένα περὶ αὐτῶν καὶ περὶ τῆς ἄλλης πολιτείας ἡμῖν τεθεώρηται πρότερον] ἀρχὴ τῶν λοιπῶν εἰπεῖν πρῶτον ποίας τινὰς δεῖ τὰς ὑποθέσεις εἶναι κτλ.».

Τῶν σοφῶν ἀνδρῶν ἄλλοι ἄλλα δοξάζουσι περὶ τοῦ προκειμένου χωρίου καὶ ἄλλως αὐτὸ διορθοῦνται, καθὼς δύναται ὁ βουλόμενος νὰ ἴδῃ ἐν ταῖς κριτικαῖς σημειώσεσι τοῦ F. Susemihl· ὡς ἐξῆς δὲ καθ' ἡμᾶς τὸ χωρίον διορθωτέον: «ἐπεὶ δὲ πεφροιμίασται τὰ νῦν εἰρημένα περὶ αὐτῶν καὶ ⟨τὰ⟩ περὶ τὰς ἄλλας πολιτείας ἡμῖν τεθεώρηται [πρότερον] ⟨ἐν ἀρχῇ⟩, (τὸ) λοιπὸν εἰπεῖν κτλ.» ἔπιθ. 1274 b, 27-28. 1329 b, 30. 1289 a, 26-35.

1326 a, 16 «οὐ μὴν ἀλλὰ κἂν εἰ δεῖ κρίνειν πρὸς τὸ πλῆθος ἀποβλέποντας . . .».

Ἀντὶ τοῦ: *κἂν* γράφε: *καί*.

1327 a, 4 «τῆς δὲ πόλεως τὴν θέσιν εἰ χρὴ ποιεῖν κατ' εὐχήν...».

Μὴ ἄρα: «*εἰπεῖν*» ἀντὶ τοῦ: «*ποιεῖν*» ἀναγνωστέον;

Αὐτόθι στίχ. 23 «καὶ πρὸς τὸ βλάψαι τοὺς ἐπιτιθεμένους, εἰ μὴ κατ' ἄμφω δυνατόν, ἀλλὰ κατὰ θάτερον ὑπάρξει μᾶλλον ἀμφοτέρων μετέχουσιν».

Ἡ πρόθεσις «*πρός*» ἡ πρὸ τῶν: «τὸ βλάψαι», περιττὴ ἐπανάληψις οὖσα ἐκ τῶν ἡγουμένων: «καὶ γὰρ πρὸς τὸ ῥᾷον φέρειν τοὺς πολέμους», διαγραπτέα· διότι ὑποκείμενον τοῦ: «ὑπάρξει» εἶναι: «τὸ βλάψαι», καθὼς ἕκαστος τοῦτο βλέπει.

Αὐτόθι στίχ. 25 «ὅσα τ' ἂν μὴ τυγχάνῃ παρ' αὐτοῖς ὄντα, δέξασθαι ταῦτα καὶ τὰ πλεονάζοντα τῶν γινομένων ἐκπέμψασθαι τῶν ἀναγκαίων ἐστίν».

Ὅτι τὰ: «τῶν ἀναγκαίων» δὲν κεῖνται κατὰ χώραν, ἀλλὰ μετενεκτέα μετὰ τὰ: «παρ' αὐτοῖς ὄντα» ὡς γενικὴ μεριστικὴ εἰς τό: «*ὅσα*», φανερὸν ἐκ τῶν ἐν στίχῳ 18: «ὅτι μὲν οὖν—βέλτιον καὶ πρὸς ἀσφάλειαν καὶ *πρὸς εὐπορίαν τῶν ἀναγκαίων* μετέχειν τὴν πόλιν καὶ τῆς χώρας ⟨καὶ⟩ τῆς θαλάττης, οὐκ ἄδηλον». Ἀντὶ δὲ τῶν: «*ἐκπέμψασθαι . . . ἐστίν*» ἀναγνωστέον καθ' ἡμᾶς: «ἐκπέμψαι ἔσται»· πρβλ. 1257 a, 31 «ξενικωτέρας γὰρ γενομένης τῆς βοηθείας τῷ εἰσάγεσθαι *ὧν ἐνδεεῖς* καὶ *ἐκπέμπειν ὧν ἐπλεόναζον*, ἐξ ἀνάγκης ἡ τοῦ νομίσματος ἐπορίσθη χρῆσις». Κατὰ ταῦτα ἀναγνωστέον τὸ προκείμενον χωρίον οὕτως: «ὅσα τ' ἂν μὴ τυγχάνῃ παρ' αὐτοῖς ὄντα ⟨τῶν ἀναγκαίων⟩, δέξασθαι ταῦτα καὶ τὰ πλεονάζοντα τῶν γινομένων ⟨ἐκπέμψαι ἔσται⟩».

Αὐτόθι στίχ. 30 «ἣν δὲ μὴ δεῖ πόλιν τοιαύτης μετέχειν πλεονεξίας, οὐδ' ἐμπόριον δεῖ κεκτῆσθαι τοιοῦτον· ἐπεὶ δὲ καὶ νῦν ὁρῶμεν πολλαῖς ὑπάρχοντα χώραις καὶ πόλεσιν ἐπίνεια καὶ λιμένας εὐφυῶς κείμενα πρὸς τὴν πόλιν κτλ.».

Τὴν γραφὴν: «ὑπάρχοντα» ᾔκασεν ὁ Congrev. καὶ παρεδέξατο ὁ Susemihl ἀντὶ τῆς ἔν τισι τῶν κωδίκων φερομένης: «ὑπάρχον καί», ἀνθ' ἧς ὁ Schneider προέτεινεν: «ὑπάρχειν καί». Ἡμεῖς, ὑποπτεύοντες, ὅτι τεταραγμένον παρεδόθη ἡμῖν τὸ χωρίον, ἀναγινώσκομεν ὡς ἑξῆς: «ἣν δὲ μὴ δεῖ πόλιν τοιαύτης μετέχειν πλεονεξίας, ⟨ἀρχὴν⟩ οὐδ' ἐμπόριον ⟨ταύτην⟩ δεῖ κεκτῆσθαι τοιοῦτον. Ἐπεὶ δὲ καὶ νῦν ὁρῶμεν ⟨ἐν⟩ πολλαῖς χώραις καὶ πόλεσιν ἐπίνεια καὶ λιμένας εὐφυῶς κείμενα πρὸς τὴν πόλιν κτλ.»· πρβλ. 1331 a, 17 «ἀρχὴν γὰρ οὐδ' ἐπιχειροῦσιν ἐπιτίθεσθαι τοῖς εὖ παρεσκευασμένοις»,

1327 b, 31 «διόπερ ἐλεύθερόν τε διατελεῖ καὶ βέλτιστα πολιτευόμενον . . .».

Ἀντὶ τῆς γραφῆς: «καὶ βέλτιστα» εὕρηται καὶ ἡ γραφή: «καὶ μάλιστα»· ἐκ τούτου δ' εἰκάζομεν, ὅτι ἀρχικῶς ἀντὶ τοῦ: «μάλιστα» ἦν: «*κάλλιστα*». Τὸ δέ: «πολιτεύεσθαι» μετὰ τοῦ: «*κάλλιστα*» ἀπαντᾷ συχνότερον ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους, ἢ μετὰ τοῦ: «*βέλτιστα*»· ἴδ. 1328 b, 37· πρβλ. καὶ Ἰσοκράτ. περὶ Ἀντιδ. 293.

1328 a, 21 «ἐπεὶ δ' ὥσπερ τῶν ἄλλων τῶν κατὰ φύσιν συνεστώτων οὐ ταὐτά ἐστι μόρια τῆς ὅλης συστάσεως ὧν ἄνευ τὸ ὅλον οὐκ ἂν εἴη, δῆλον ὡς οὐδὲ πόλεως μέρη θετέον ὅσα κτλ.».

Ὅτι συντακτικῶς τὸ χωρίον νοσεῖ, πρόδηλον· θεραπεύεται δέ, οὕτως ἀναγινωσκόμενον: «⟨ὥσπερ δ' *ἐπὶ*⟩ τῶν ἄλλων — οὕτως [δῆλον ὡς] οὐδὲ πόλεως κτλ.»· ἴδ. Ἀριστ. περὶ ποιητικ. 1451 a, 5 «δεῖ καθάπερ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν ζῴων ἔχειν μὲν μέγεθος κτλ., οὕτω καὶ ἐπὶ τῶν μύθων . . .».

1328 b, 1-5 «ἐπισκεπτέον δὲ καὶ πόσα ταυτί ἐστιν ὧν ἄνευ πόλις οὐκ ἂν εἴη· καὶ γὰρ ἃ λέγομεν εἶναι μέρη πόλεως, ἐν τούτοις ἂν εἴη· διὸ ** ἀναγκαῖον ὑπάρχειν. ληπτέον τοίνυν τῶν ἔργων τὸν ἀριθμόν· ἐκ τούτων γὰρ ἔσται δῆλον».

Ἀντὶ τοῦ: «*ταυτί*» ὁ Schneider ἔγραψε: «*ταῦτ'*», τὸ δέ: «*διὸ*» ἔν τισι τῶν κωδίκων παραλείπεται, πρὸ δὲ τοῦ: «*ἀναγκαῖον*» ὁ Victor ὑπολαμβάνει, ὅτι ἐξέπεσαν λέξεις· ἡμεῖς ὑποπτεύοντες, ὅτι καὶ τὸ χωρίον τοῦτο εἶναι διατεταραγμένον, ἀποκαθίσταμεν ὡς ἀκολούθως, δοξάζοντες, ὅτι οὐδὲν χάσμα παρεμπίπτει: «ἐπισκεπτέον δὲ καὶ πόσα ταῦτ' ἐστίν, ὧν ἄνευ πόλις οὐκ ἂν εἴη. Ληπτέον τοίνυν τῶν ἔργων τὸν ἀριθμόν· ἐκ τούτων γὰρ ἔσται δῆλον· καὶ γὰρ ἃ λέγομεν εἶναι μέρη πόλεως, ἐν τούτοις ἀναγκαῖον ἂν εἴη ὑπάρχειν»· πρβλ. 1329 a, 35-39 «ὧν μὲν τοίνυν ἄνευ πόλις οὐ συνίσταται καὶ ὅσα μέρη πόλεως, εἴρηται»· καὶ 1253 b, 26 «ἀναγκαῖον ἂν εἴη ὑπάρχειν τὰ οἰκεῖα ὄργανα».

Αὐτόθι στίχ. 28 «ἢ τὰ μὲν ἴδια τὰ δὲ κοινὰ τούτων ἐξ ἀνάγκης ἐστίν. οὐκ ἐν πάσῃ δὲ ταὐτὸ πολιτείᾳ».

Πρέπει καθ' ἡμᾶς μετὰ τό: «ἐστὶν» νὰ τεθῇ κόμμα ἀντὶ τῆς τελείας, ἀντὶ δὲ τοῦ: «ταὐτὸ» γραπτέον *ταῦτα*. Εἰς τὴν μεταβολὴν δὲ ταύτην πείθουσιν ἡμᾶς τὰ εὐθὺς κατωτέρω: «... ἐν μὲν γὰρ ταῖς δημοκρατίαις μετέχουσι πάντες πάντων, ἐν δὲ ταῖς ὀλιγαρχίαις τοὐναντίον». (στίχ. 30-33).

1329 a, 5 «πότερον ἕτερα ⟨ἑτέροις⟩ καὶ ταῦτα θετέον».

Τό: «*ἑτέροις*» ὁ ἡμέτερος Κοραῆς προσέθηκε καὶ ὀρθῶς ἀποδεκτὸν ἐγένετο. Ἡμεῖς δὲ νομίζομεν, ὅτι παρέλκει τό: «ἕτερα» μετὰ τὴν προσθήκην τοῦ: *ἑτέροις*, καθὼς ἐκ τῶν κατωτέρω φαίνεται: «φανερὸν δὲ καὶ τοῦτο, διότι τρόπον μέν τινα τοῖς αὐτοῖς, τρόπον δέ τινα καὶ *ἑτέροις*» (στίχ. 6-7).

Αὐτόθι στίχ. 31 «πρέπει δὲ τήν τε θεραπείαν ἀποδιδόναι τοῖς θεοῖς καὶ τὴν ἀνάπαυσιν ἔχειν π ε ρ ὶ αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας, τούτοις ἂν εἴη τὰς ἱερωσύνας ἀποδοτέον».

Ἡ μετὰ τό: «ἔχειν» πρόθεσις *περὶ* εἶναι ὅλως περιττή, τὸ δέ:

«αὐτούς», ἀνθ' οὗ ὁ Susemihl ὑπολαμβάνει: αὐτούς? ἀναφέρεται οὐχὶ εἰς τοὺς *θεούς*, ἀλλ' εἰς *τοὺς ἀπειρηκότας* (τοῦτ' ἔστιν αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας)· πρβλ. Ἀριστ. Ἠθ. Νικομ. VIII, 11, 30 καὶ ἑφεξῆς.

Αὐτόθι στίχ. 36 «(γεωργοὶ μὲν γὰρ καὶ τεχνῖται καὶ πᾶν τὸ θητικὸν ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσιν...».

vix sana σημειοῦται ὁ Susem. περὶ τοῦ χωρίου τούτου· «γεωργοὺς δὲ καὶ τεχνίτας» ᾔκασεν ὁ Scalig. ἀντὶ τῶν: «γεωργοὶ καὶ τεχνῖται», ὁ δὲ Spengel ἀπέκλεισε τὸ: «ὑπάρχειν». Καθ' ἡμᾶς δὲ ὑγιέστατα ἔχει τὸ χωρίον, ἂν ἀντὶ τοῦ: «ἀναγκαῖον» ἀναγνωσθῇ τὸ: «*ἀναγκαῖοι*».

1330 a, 16 «τό τε γὰρ ἴσον οὕτως ἔχει καὶ τὸ δίκαιον καὶ τὸ πρὸς τοὺς ἀστυγείτονας πολέμους ὁμονοητικώτερον».

Τὸ πρὸ τῆς *πρὸς* προθέσεως ἄρθρον *τὸ* ᾗ διαγραπτέον, ἤ, τὸ πιθανώτερον, ἀναγνωστέον ⟨τοῦτο⟩ τοῦτ' ἔστι «τοῦτο ὁμονοητικώτερον»· πρβλ. 1261 b, 30 καὶ ἑφεξῆς.

1331 a, 19 «ὥσπερ γὰρ τοῖς ἐπιτιθεμένοις ἐπιμελές ἐστι δι' ὧν τρόπων πλεονεκτήσουσιν, οὕτω τὰ μὲν εὕρηται τὰ δὲ ζητεῖν δεῖ καὶ φιλοσοφεῖν καὶ τοὺς φυλαττομένους».

Τὰ ἀπὸ τοῦ: «οὕτω — φυλαττομένους» εἶναι καθ' ἡμᾶς, καθὼς ἔχουσιν, ἀδιανόητα· διὸ εἰκάζομεν, ὅτι πρέπει νὰ συμπληρωθῶσιν οὕτως: «οὕτως ⟨ἃ⟩ μὲν (ἢ ⟨ὅσα⟩ μὲν) εὕρηται ⟨ταῦτα⟩ δεῖ ⟨μελετᾷν⟩, ⟨ἃ δὲ μή⟩, ζητεῖν δεῖ καὶ φιλοσοφεῖν καὶ τοὺς φυλαττομένους».

Αὐτόθι στίχ. 28 «εἴη δ' ἂν τοιοῦτος ὁ τόπος ὅστις ἐπιφάνειάν τε ἔχει πρὸς τὴν τῆς ἀρετῆς θέσιν ἱκανῶς κτλ.»

Ὀρθῶς παρατηρεῖ ὁ Susem., ὅτι τὰ ἀπὸ τῶν: «ἐπιφάνειαν

θέσιν» εἶναι haud integra· ἄλλοι δὲ πολλαχῶς νὰ θεραπεύσωσιν ἐπειράθησαν. Ἡμεῖς δὲ ὑπολαμβάνομεν μόνον, ὅτι ἀντὶ τοῦ: «*ἀρετῆς*» ἴσως πρέπει νὰ ἀναγνωσθῇ: «*ἀγορᾶς*». Εἰς τὴν εἰκασίαν δὲ ταύτην φερόμεθα ἐκ τῶν εὐθὺς κατωτέρω, ἐν οἷς περὶ *ἀγορᾶς* ὁ λόγος γίνεται.

Ἔχουσι δὲ ταῦτα ὡς ἑξῆς στίχ. 30:

«πρέπει δὲ ὑπὸ μὲν τοῦτον τὸν τόπον τοιαύτης ἀγορᾶς εἶναι κατασκευὴν οἵαν καὶ περὶ Θετταλίαν νομίζουσιν, ἣν ἐλευθέραν καλοῦσιν, αὕτη δ' ἐστὶν ἣν δεῖ καθαρὰν εἶναι τῶν ὠνίων κτλ.».

Τὸ ῥηθὲν λοιπὸν χωρίον ἡμεῖς νομίζομεν, ὅτι πρέπει οὕτω νὰ ἀναγνωσθῇ: «πρέπει δ' ὑπὸ μὲν τοῦτον τὸν τόπον ⟨τοιαύτην τῆς⟩ ἀγορᾶς εἶναι κατασκευήν, ⟨οἷα⟩ καὶ ⟨ἡ⟩ περὶ Θετταλίαν (ἐστίν), ἣν ἐλευθέραν καλοῦσιν, ⟨ταύτην⟩ δὲ δεῖ καθαρὰν εἶναι τῶν ὠνίων κτλ.»· πρβλ. 1331 b, 1 «τὴν δὲ τῶν ὠνίων ἀγορὰν ἑτέραν τε δεῖ ταύτης εἶναι καὶ χωρίς . . .» καὶ στίχ. 12 αὐτόθι.

Αὐτόθι στίχ. 37 «πρέπει γὰρ διῃρῆσθαι κατὰ τὰς ἡλικίας καὶ τοῦτον τὸν κόσμον».

Μὴ ἀντὶ τῶν: «τὸν κόσμον» ἀναγνωστέον «*τὸν τόπον*;».

1331 b, 26 «ἐπεὶ δὲ δύο ἐστὶν ἐν οἷς γίνεται τὸ εὖ πᾶσι, τούτοιν δ' ἐστὶν ἓν μὲν ἐν τῷ τὸν σκοπὸν κεῖσθαι καὶ τὸ τέλος τῶν πράξεων ὀρθῶς, ἓν δὲ τὰς πρὸς τὸ τέλος φερούσας πράξεις εὑρίσκειν [ἐνδέχεται γὰρ ταῦτα καὶ διαφωνεῖν ἀλλήλοις καὶ συμφωνεῖν]».

Δύο ἔχομεν νὰ παρατηρήσωμεν εἰς τὸ προκείμενον χωρίον ταῦτα, 1) ὅτι δὲν ἠδυνήθημεν νὰ ἀνεύρωμεν, τίς εἶναι ἡ κυρία πρότασις ἡ διὰ τοῦ «ἐπεὶ δὲ δύο ἐστὶν κτλ.» προσδιοριζομένη· διότι ὁ μετὰ τὴν παρένθεσιν λόγος ἄρχεται διὰ τῶν: «ὅτι μὲν οὖν τοῦ τε εὖ ζῆν —, φανερόν». Μένει ἄρα μετέωρος ἡ διὰ τοῦ: «ἐπεὶ — ἐστὶν κτλ.» πρό-

τασις; ἢ πῶς ἄρα ἄλλως τὸ ὅλον χωρίον ἔχει; 2) τὰ: «καὶ συμφωνεῖν» οὐδεμίαν καθ' ἡμᾶς ἐνταῦθα χώραν ἔχουσιν· διότι ἐκ τῆς ἑπομένης αἰτιολογίας: «ἐνίοτε γὰρ ὁ μὲν σκοπὸς ἔκκειται καλῶς κτλ.» μόνον ἡ πρὸς ἄλληλα τούτων διαφωνία φαίνεται.

Αὐτόθι στίχ. 34 «ὁτὲ δὲ ἑκατέρου διαμαρτάνουσιν,».

Ἀντὶ τοῦ: *ἑκατέρου* γράφε: «ἀμφοτέρων»· διότι ταύτην τὴν μεταβολὴν τῆς γραφῆς τὰ εὐθὺς κατωτέρω ὑπαγορεύουσιν· πρβλ. καὶ στίχ. 37: «δεῖ δ' ἐν ταῖς τέχναις καὶ ἐπιστήμαις ταῦτα ἀμφότερα κρατεῖσθαι, τὸ τέλος καὶ τὰς εἰς τὸ τέλος πράξεις».

1332 a, 40 καὶ ἐφεξῆς «καὶ γὰρ φῦναι δεῖ πρῶτον οἷον ἄνθρωπον ἀλλὰ μὴ τῶν ἄλλων τι ζῴων, εἶτα καὶ ποιόν τινα τὸ σῶμα καὶ τὴν ψυχήν. ἔνια δὲ οὐδὲν ὄφελος φῦναι· τὰ γὰρ ἔθη μεταβάλλειν ποιεῖ· ἔνια γάρ ἐστι διὰ τῆς φύσεως ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν ἐπὶ τὸ χεῖρον καὶ τὸ βέλτιον. [τὰ μὲν οὖν ἄλλα τῶν ζῴων μάλιστα μὲν τῇ φύσει ζῇ, μικρὰ δ' ἔνια καὶ τοῖς ἔθεσιν, ἄνθρωπος δὲ καὶ λόγῳ· μόνον γὰρ ἔχει λόγον]. ὥστε δεῖ ταῦτα συμφωνεῖν ἀλλήλοις. * πολλὰ γὰρ παρὰ τοὺς ἐθισμοὺς καὶ τὴν φύσιν πράττουσι διὰ τὸν λόγον, ἐὰν πεισθῶσιν ἄλλως ἔχειν βέλτιον».

Τὰ ἀπὸ τῶν: «τὰ μὲν οὖν ἄλλα — ἔχει λόγον» ὁ Bekk κατ' εἰσήγησιν τοῦ Susemihl, ὅστις «vitium detexerat», μετήνεγκε μετὰ τὰ: «συμφωνεῖν ἀλλήλοις». Τὰ δέ: «ἔνια γάρ ἐστι — βέλτιον» ὁ Conringius, καθὼς σημειοῦται ὁ Susem., «lacunosa esse intelléxit». Ἄλλοι δ' ἄλλας γραφὰς εἰς τὸ κείμενον προτείνουσιν. Πῶς δ' ἡμεῖς καὶ τὸ προκείμενον χωρίον ἀναγινώσκομεν, τεθορυβημένον ὄν, καὶ τίνας εἰς αὐτὸ μεταβολὰς ἐπιφέρομεν πρὸς θεραπείαν, περὶ τούτων κρινέτω ὁ λόγιος ἀναγνώστης, οὗ τὴν ἐπιεικῆ κρίσιν ἄσμενοι ἀποδεχόμεθα. Ἔχει δὲ καθ' ἡμᾶς τὸ χωρίον ὧδε:

«καὶ γὰρ ⟨ὥσπερ⟩ φῦναι δεῖ πρῶτον [οἷον] ἄνθρωπον, ἀλλὰ μὴ τῶν ἄλλων τι ζῴων, ⟨οὕτω⟩ καὶ ποιόν τινα τὸ σῶμα καὶ τὴν ψυχήν. Τὰ μὲν οὖν ἄλλα τῶν ζῴων μάλιστα μὲν τῇ φύσει ζῇ, μικρὰ

δ' ἔνια καὶ τοῖς ἔθεσιν, ἄνθρωπος δὲ καὶ λόγῳ· μόνον γὰρ ἔχει λόγον· ὥστε δεῖ ταῦτα συμφωνεῖν ἀλλήλοις· πολλὰ ⟨μὲν⟩ γὰρ παρὰ τοὺς ἐθισμοὺς καὶ τὴν φύσιν πράττουσι διὰ τὸν λόγον, ἐὰν πεισθῶσιν ἄλλως ἔχειν βέλτιον· ἔνια δὲ οὐδὲν ὄφελος φῦναι, τὰ γὰρ ἔθη μεταβάλλειν ποιεῖ· ⟨ἔστι δ' ἃ καὶ (?)⟩ τῆς φύσεως ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν ἐπὶ τὸ χεῖρον καὶ τὸ βέλτιον».

1332 a, 38 «ἀκολουθεῖ γὰρ τῷ καθ' ἕκαστον καὶ τὸ πάντας».

Διορθούμεθα ἡμεῖς τὸ χωρίον, ἀναγινώσκοντες ἢ οὕτως: «ἀκολουθεῖ γὰρ τὸ καθ' ἕκαστον καὶ τῷ πάντας», ἤ, τὸ πιθανώτερον, οὕτως: «ἀκολουθεῖ γὰρ τὸ καθ' ἕκαστον ⟨κατὰ⟩ τὸ πάντας»· ἐπιθ. 1260 b, 14-15. 1281 b, 34-36. 1282 a, 16 καὶ ἐφεξῆς καὶ 1283 b, 33.

1332 b, 35 «ἡ γὰρ φύσις δέδωκε τὴν διαίρεσιν, ποιήσασα [αὐτῷ] τῷ γένει ταὐτὸ τὸ μὲν νεώτερον τὸ δὲ πρεσβύτερον, ὧν τοῖς μὲν ἄρχεσθαι πρέπει τοῖς δ' ἄρχειν».

Ὅτι τὸ χωρίον εἶναι ἀνώμαλόν τε καὶ ἀσαφές, δῆλον· ἄριστα δὲ καθ' ἡμᾶς εὐοδοῦται, οὕτω θεραπευόμενον:

«ἡ γὰρ φύσις ⟨αὐτὴ⟩ δέδωκε τὴν διαίρεσιν τῷ γένει, ποιήσασα αὐτὸ τὸ μὲν νεώτερον, τὸ δὲ πρεσβύτερον, ⟨ὥστε⟩ τὸ μὲν ἄρχεσθαι πρέπει, τὸ δ' ἄρχειν».

1333 a, 2 «τόν τε γὰρ μέλλοντα καλῶς ἄρχειν ἀρχθῆναί φασι δεῖν πρῶτον».

Ἐπειδὴ μετὰ τό: *τε* οὔτε *καί*, οὔτε ἕτερον *τε* ἀκολουθεῖ, ὁ δὲ λόγος τοῦτο ἀπαιτεῖ, ὑποπτεύομεν, ὅτι μετὰ τό: «*ἄρχειν*» ἐξέπεσαν λέξεις, αἵτινες καθ' ἡμᾶς εἶναι αὗται: ⟨καὶ τὸν ἄρχεσθαι⟩· ὥστε ἀναγνωστέον: «τόν τε γὰρ μέλλοντα καλῶς ἄρχειν ⟨καὶ τὸν ἄρχεσθαι⟩ ἀρχθῆναί φασι δεῖν πρῶτον»· ἐπιθ. αὐτόθ. στίχ. 12: «τὸν δ' αὐτὸν ἀρχόμενόν τε δεῖν γίνεσθαι πρότερον καὶ ἄρχοντα ὕστερον»,

πρβλ. 1177 a, 26: «καὶ πολίτου δοκίμου (γράφ. δ' ὁμοίως) ἡ ἀρετὴ τὸ δύνασθαι καὶ ἄρχειν καὶ ἄρχεσθαι».

Αὐτόθι στίχ. 6 «διαφέρει δ' ἔνια τῶν ἐπιταττομένων οὐ τοῖς ἔργοις ἀλλὰ τῷ τίνος ἕνεκεν».

Ἐκ τῶν ἀμέσως κατωτέρω ἐν στίχῳ 9: «πρὸς γὰρ τὸ καλὸν καὶ τὸ μὴ καλὸν οὐχ οὕτω διαφέρουσιν αἱ πράξεις καθ' αὐτὰς ὡς ἐν τῷ τέλει καὶ τῷ τίνος ἕνεκεν», ἐν οἷς τὸ: *διαφέρειν* μετὰ τῆς προθέσεως *ἐν* συντεταγμένον εἶναι («οὐχ οὕτω διαφέρουσιν — ὡς ἐν τῷ τέλει»), ἐκ τούτων, λέγομεν, εἰκάζομεν, ὅτι καὶ τὰ: «οὐ τοῖς ἔργοις» ἐν τῷ προκειμένῳ ἀναγνωστέα: «*οὐκ ἐν τοῖς ἔργοις*».

Αὐτόθι στίχ. 14 «τῷ νομοθέτῃ πραγματευτέον, ὅπως ἄνδρες ἀγαθοὶ γένωνται καὶ διὰ τίνων ἐπιτηδευμάτων κτλ.».

Ἀντὶ τῆς ὑποτακτικῆς «γένωνται» ἁρμόζει μᾶλλον ἡ ὁριστικὴ «*γίνονται*», τοῦ *ὅπως* τρόπον δηλοῦντος.

Αὐτόθι στίχ 17 «διῄρηται δὲ δύο μέρη τῆς ψυχῆς, ὧν τὸ μὲν ἔχει λόγον καθ' αὑτό, λόγῳ δ' ὑπακούειν δυνάμενον· ὧν φαμὲν τὰς ἀρετὰς εἶναι καθ' ἃς ἀνὴρ ἀγαθὸς λέγεται πώς».

Ὁ Scaliger πρῶτος παρετήρησεν, ὅτι τὸ: «*διῄρηται*» εἶναι ἄνευ ὑποκειμένου καὶ διὰ τοῦτο ἔγραψεν: *ἡ ψυχὴ* ἀντὶ τῶν: «τῆς ψυχῆς»· ἡμεῖς δὲ νομίζομεν, ὅτι παρελείφθη τὸ ἄρθρον: «*τὰ*» πρὸ τῶν: «τῆς ψυχῆς»· ὑποκείμενον δὲ τοῦ: «*διῄρηται*» τὸ: «⟨τὰ⟩ τῆς ψυχῆς»· τοῦτ' ἔστι «*τὰ περὶ τὴν ψυχὴν*» (ὡς ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις ὁ Ἀριστοτέλης λέγει) διῄρηται δύο μέρη, ὧν τὸ μὲν ἔχει λόγον κτλ.»· προσκρούοντες δὲ εἰς τὴν μετοχὴν «*δυνάμενον*» καὶ εἰς τὴν μετ' αὐτὴν γενικὴν «*ὧν*», ὑποπτεύομεν, ὅτι τὸ κείμενον παρεφθαρμένον παρεδόθη ἡμῖν. Διὸ εἰκάζομεν, ὅτι ἀντὶ τῶν: «δυνάμενον· ὧν φαμὲν» ἀρχικῶς ἦσαν ταῦτα: «⟨δύναται· φαμὲν μὲν οὖν»⟩ Τὸ ὅλον δὲ χωρίον ἀναγνωστέον οὕτως: «διῄρηται δὲ δύο μέρη ⟨τὰ τῆς ψυχῆς, ὧν τὸ μὲν ἔχει λόγον καθ' αὑτό, τὸ δ' οὐκ ἔχει μὲν κα

αὐτό, λόγῳ δ' ὑπακούειν ⟨δύναται⟩. φαμὲν ⟨μὲν οὖν⟩ τὰς ἀρετὰς εἶναι καθ' ἅς ἀνὴρ ἀγαθὸς λέγεται πώς· τούτων δ' ἐν ποτέρῳ μᾶλλον τὸ τέλος, κτλ.». Ὁ δὲ βουλόμενος νὰ ἴδῃ, πῶς τὰ διὰ βραχέων ἐνταῦθα λεγόμενα ἀκριβέστερον καὶ διὰ μακροτέρων ἀναπτύσσονται ὑπὸ τοῦ φιλοσοφοῦντος περὶ τῶν πολιτικῶν ἀνδρὸς ἀναγνώτω τὰ ἠθικὰ Νικομάχεια ἐν σελ. 19, 21, 102, 103· καὶ Πολιτ. 1334 b, 17 κ. ἐφεξ.

Αὐτόθι στίχ. 30 «οὗ τυχεῖν ἔστιν ἀκροτάτου».

Μὴ γραπτέον: «οὗπερ εἰ τύχοι ἔστιν ἀκρότατον;».

Αὐτόθι στίχ. 33 «περὶ ὧν ἀνάγκη τὴν αὐτὴν αἵρεσιν εἶναι καὶ τοῖς τῆς ψυχῆς μέρεσι καὶ ταῖς πράξεσιν αὐτῶν, κτλ.».

Ὁ Schneider, τὴν πρὸ τοῦ «*ὧν*» πρόθεσιν «*περὶ*» διαγράψας, προέτεινεν ἀντὶ τοῦ: «*αἵρεσιν*» τό: «*διαίρεσιν*», ὁ δὲ Reizius δι' ἀγκυλῶν ἐνέκλεισε τὸ ἕτερον *καί*. Ἡμεῖς δὲ ὑποπτεύομεν μόνον, ὅτι ἀντὶ τῶν: «*περὶ ὧν ἀνάγκη*», πρέπει νὰ ἀναγνωσθῇ: «⟨ἀνάγκη οὖν⟩»· πρβλ. στίχ. 37 «πρὸς πάντα μὲν τοίνυν τῷ πολιτικῷ βλέποντι νομοθετητέον, καὶ κατὰ τὰ μέρη τῆς ψυχῆς καὶ κατὰ τὰς πράξεις αὐτῶν, *μᾶλλον* δὲ πρὸς τὰ βελτίω καὶ τὰ τέλη».

1333 b, 1 «καὶ τἀναγκαῖα καὶ τὰ χρήσιμα [δὲ] πράττειν, τὰ δὲ καλὰ δεῖ μᾶλλον».

Μετὰ τά: «*καὶ τἀναγκαῖα*» ὅτι ἐξέπεσε τὸ ⟨*μέν*⟩, αὐτὰ τὰ ἀνωτέρω, μεθ' ὧν τὰ ἐνταῦθα συνδέονται, εἰς τοῦτο πείθουσιν, καθὼς καὶ τὰ ἀμέσως ἑπόμενα (τ. ἔ. τὰ δὲ καλὰ), ἅπερ ἀντιτίθενται πρὸς τἀναγκαῖα καὶ τὰ χρήσιμα· τὸ δὲ μετὰ *τὰ χρήσιμα*: «δὲ» εἰς «*δεῖ*» τρεπτέον. Τὸ ὅλον δὲ χωρίον κατὰ ταῦτα ἔχει μετὰ τῶν πρὸ αὐτοῦ ...σημένων ὡς ἑξῆς:

«δεῖ μὲν γὰρ ἀσχολεῖν δύνασθαι καὶ πολεμεῖν, μᾶλλον δ' εἰρήνην ...γειν καὶ σχολάζειν, καὶ τἀναγκαῖα ⟨μὲν⟩ καὶ τὰ χρήσιμα δεῖ πράττειν, τὰ δὲ καλὰ δεῖ μᾶλλον».

Αὐτόθι στίχ. 29 «ἔτι δὲ οὐ διὰ τοῦτο δεῖ τὴν πόλιν εὐδαίμονα νομίζειν καὶ τὸν νομοθέτην ἐπαινεῖν, ὅτι κρατεῖν ἤσκησεν ἐπὶ τὸ τῶν πέλας ἄρχειν».

Ἀντὶ μὲν τῶν: «*οὐ διὰ*» γράφε, «*⟨οὐδὲ⟩ διὰ*», ἀντὶ δὲ τῶν: «εὐδαίμονα νομίζειν» ⟨εὐδαιμονίζειν⟩. Τὸ δέ: «*κρατεῖν*» ὁ μὲν Reizius ἀπέκλεισε δι' ἀγκυλῶν, ὁ δὲ Congrevius ᾔκασεν ἀντ' αὐτοῦ «*καρτερεῖν*», ὀρθῶς δ' ὁ Susemihl παρατηρεῖ εἰς ταῦτα: nescio an recte. Ἡμεῖς οὐδέτερον ἀποδεχόμενοι, ὑπολαμβάνομεν ὅτι πρέπει ἀντὶ τοῦ «*κρατεῖν*» νὰ ἀναγνωσθῇ «*⟨τὴν ἀρετὴν⟩*», ἀντὶ δὲ τῶν: «*ἤσκησεν ἐπὶ*» γράφε τά: «⟨ἤσκησαν πρὸς⟩». Οὕτω δὲ ἀναγνωστέον τὸ ὅλον χωρίον: «ἔτι δὲ ⟨οὐδὲ⟩ διὰ τοῦτο δεῖ τὴν πόλιν ⟨εὐδαιμονίζειν⟩ καὶ τὸν νομοθέτην ἐπαινεῖν, ὅτι ⟨τὴν ἀρετὴν⟩ ἤσκησαν ⟨πρὸς⟩ τὸ τῶν πέλας ἄρχειν»· πρβλ. 1334 a, 39: «διὸ δεῖ μὴ καθάπερ ἡ Λακεδαιμονίων πόλις *τὴν ἀρετὴν ἀσκεῖν*»· ἔπιθι καὶ 1271 b, 2-3 καὶ ἐφεξῆς· 1336 b, 8-10. 14. 1337 b, 1-3. καὶ Ἠθ. Νικομ. 1100, 24.

Αὐτόθι στίχ. 35 καὶ ἐφεξῆς «οὔτε δὴ πολιτικὸς τῶν τοιούτων νόμων καὶ λόγων οὐδεὶς οὔτε ὠφέλιμος οὔτε ἀληθής ἐστιν. ταὐτὰ γὰρ ἄριστα καὶ ἰδίᾳ καὶ κοινῇ, τόν ⟨τε⟩ νομοθέτην ἐμποιεῖν δεῖ ταῦτα ταῖς ψυχαῖς τῶν ἀνθρώπων· τήν τε τῶν πολεμικῶν ἄσκησιν οὐ τούτου χάριν δεῖ μελετᾶν, ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ δουλεύσωσιν ἑτέροις, ἔπειτα ὅπως ζητῶσι τὴν ἡγεμονίαν τῆς ὠφελείας ἕνεκα τῶν ἀρχομένων, ἀλλὰ μὴ πάντων δεσποτείας, τρίτον δὲ τὸ δεσπόζειν τῶν ἀξίων δουλεύειν».

Καὶ τὸ ἀνωτέρω χωρίον ἐν πολλοῖς νοσοῦν ἐπειράθημεν νὰ θεραπεύσωμεν, ἀποκαταστήσαντες αὐτὸ οὕτω, καθὼς εὐθὺς ἐν τοῖς κατωτέρω ὁ ἀναγνώστης βλέπει, συμφώνως πρὸς ὅσα αὐτὸς ὁ Ἀριστ - λης ἐν τοῖς ἡγουμένοις καὶ ἀλλαχοῦ τῶν πολιτικῶν λέγει. Κατὰ - σον δὲ τοῦ ὀρθοῦ ἐτύχομεν, περὶ τούτου ἄλλοι κρινόντων. Τὸ δὲ ι- ρίον καθ' ἡμᾶς οὕτως ἀναγνωστέον:

«οὔτε δὴ πολιτικὸς ⟨οὔτε νομοθέτης⟩ τῶν τοιούτων νόμων καὶ λόγων οὐδεὶς οὔτε ὠφέλιμος, οὔτε ἀληθής ἐστιν. ⟨ὅσα τε⟩ γὰρ ἄριστα καὶ ἰδίᾳ καὶ κοινῇ, ⟨ταῦτα⟩ τόν ⟨τε⟩ νομοθέτην ⟨καὶ τὸν πολιτικὸν⟩ ἐμποιεῖν δεῖ ταῖς ψυχαῖς τῶν ἀνθρώπων· ⟨τούτους τε⟩ τὴν τῶν πολεμικῶν ἄσκησιν οὐ τούτου χάριν δεῖ μελετᾶν, ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ δουλεύσωσιν ἑτέροις, ἔπειτα ὅπως ζητῶσι τὴν ἡγεμονίαν τῆς ὠφελείας ἕνεκα τῶν ἀρχομένων, ἀλλὰ μὴ ⟨τῆς⟩ πάντων δεσποτείας, τρίτον δὲ ⟨τοῦ⟩ δεσπόζειν τῶν ἀξίων δουλεύειν».

Κατὰ ταῦτα ἔχομεν τὴν ἑξῆς καλλίστην ἔννοιαν τῶν ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένων: ὅτι ὁ νομοθέτης καὶ ὁ πολιτικὸς πρέπει, ὅσα εἶναι ἄριστα ἰδίᾳ τε καὶ κοινῇ ταῦτα εἰς τὰς ψυχὰς νὰ ἐμποιῶσι τῶν ἀνθρώπων, καὶ οὗτοι δὲ πάλιν τὴν τῶν πολεμικῶν ἄσκησιν πρέπει νὰ μελετῶσιν οὐχὶ ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ ἑτέροις δουλεύσωσιν, ἔπειτα δὲ ὅπως ζητῶσι τὴν ἡγεμονίαν ἕνεκα τῆς ὠφελείας τῶν ἀρχομένων, ἀλλὰ μὴ ἕνεκα τῆς δεσποτείας πάντων, τρίτον δὲ ἕνεκα τοῦ δεσπόζειν τῶν ἀξίων νὰ δουλεύωσιν.

Ὀφείλομεν δὲ νὰ μνημονεύσωμεν, ὅτι καὶ ὁ μέγας διδάσκαλος, ὁ ἀοίδιμος Κοραῆς, ἔγραψεν ἀντὶ τῶν: «*τὸ* δεσπόζειν» «*τοῦ* δεσπόζειν».

1334 a, 2 «ὅτι δὲ δεῖ τὸν νομοθέτην μᾶλλον σπουδάζειν ὅπως καὶ τὴν περὶ τὰ πολεμικὰ καὶ τὴν ἄλλην νομοθεσίαν τοῦ σχολάζειν ἕνεκεν τάξῃ καὶ τῆς εἰρήνης, . .».

Ἀντὶ τῶν: «τὴν ἄλλην νομοθεσίαν» ἡμεῖς εἰκάζομεν: «τὴν ⟨περὶ τἆλλα⟩ νομοθεσίαν», ἀντὶ δὲ τῆς ὑποτακτικῆς «*τάξῃ*» προτιμῶμεν τὴν ὁριστικὴν «*τάξει*».

Αὐτόθι στίχ. 14 «δεῖ τὰς εἰς τὴν σχολὴν ἀρετὰς ὑπερέχειν».

Ὁ Susemihl ἀντὶ τῆς γραφῆς: «*ὑπάρχειν*», ἣν ἐν τῇ πρώτῃ ἐκδόσει ἐφύλαξε, καθὼς καὶ ἐν τοῖς κώδιξιν εὑρίσκεται, ἐν τῇ γ' ἐκ-

δόσει ἔγραψε τό: «*ὑπερέχειν*»· προέβη δ' ἴσως ὁ ἐλλόγιμος ἀνὴρ εἰς τὴν γραφὴν «*ὑπερέχειν*» ἀντὶ τοῦ «*ὑπάρχειν*» ἐκ τῶν κατωτέρω καὶ δὴ τῶν ἐν τῷ στίχῳ 24: «σωφροσύνης δὲ καὶ δικαιοσύνης ἐν ἀμφοτέροις τοῖς χρόνοις (δεῖ), καὶ μᾶλλον εἰρήνην ἄγουσι καὶ σχολάζουσιν». Ἡμεῖς δὲ στέργομεν τὴν γραφὴν «*ὑπάρχειν*».

Αὐτόθι στίχ. 40 καὶ ἐφεξ. «ἐκεῖνοι (οἱ Λακεδαιμόνιοι) μὲν γὰρ οὐ ταύτῃ διαφέρουσι τῶν ἄλλων, τῷ μὴ νομίζειν ταὐτὰ τοῖς ἄλλοις μέγιστα τῶν ἀγαθῶν, ἀλλὰ τῷ γενέσθαι ταῦτα μᾶλλον διὰ τινὸς ἀρετῆς· ἐπεὶ δὲ μείζω τε ἀγαθὰ ταῦτα, καὶ τὴν ἀπόλαυσιν τὴν τούτων ἢ τὴν τῶν ἀρετῶν * *».

Ἀντὶ τοῦ: «*τε*»: (μείζω τε) γράφομεν «*τὰ*», καθὼς καί τινες τῶν κωδίκων ἔχουσι καὶ ὁ Ἀριστοτέλης ἀλλαχοῦ, ὡς παρακατιόντες θὰ ἴδωμεν, «*τἀγαθὰ*» περὶ τῆς αὐτῆς ἐννοίας γράφει· ἀντὶ δὲ τοῦ: «*γενέσθαι*» τὸ «*γίνεσθαι*» ἀναγινώσκομεν, καθὼς ἔγραψε καὶ ὁ Schneider καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης οὕτως εἶπεν, ὡς θὰ ἴδωμεν, ἀλλαχοῦ· διότι αὐτὴ ἡ ἔννοια ἀπαρέμφατον τοῦ ἐνεστῶτος οὐχὶ τοῦ ἀορίστου ἀπαιτεῖ. Τὸ δὲ μετὰ τό: «τῶν ἀρετῶν» κενόν, ὅπερ πρῶτος παρετήρησεν ὁ Camerarius, συνεπλήρωσαν ὁ Thurotus καὶ ὁ Spengelius, ἐν ὄψει ἔχοντες τὰ ἐν Β 9, 1271 b, 3 καὶ ἐφεξῆς, ἐκεῖνος μὲν οὕτως: «τῶν ἀρετῶν ⟨ὑπολαμβάνουσιν, ἐσώζοντο μὲν πολεμοῦντες, ἀπώλλυντο δ' ἄρξαντες⟩»· οὗτος δὲ ὡς ἑξῆς· «τῶν ⟨πολεμικῶν μείζω εἶναι ἀνάγκη⟩». Εἶναι δὲ τὸ προμνημονευθὲν χωρίον τοῦ Ἀριστοτέλους, ὅπερ οἱ λογιώτατοι οὗτοι ἄνδρες ὑπ' ὄψιν ἔχοντες συνεπλήρωσαν τὸ κενόν, τοῦτο: «τοιγαροῦν ἐσῴζοντο μὲν πολεμοῦντες, ἀπώλλυντο δὲ ἄρξαντες διὰ τὸ μὴ ἐπίστασθαι σχολάζειν μηδ' ἠσκηκέναι μηδεμίαν ἄσκησιν ἑτέραν κυριωτέραν τῆς πολεμικῆς· τούτου δὲ ἁμάρτημα οὐκ ἔλαττον· νομίζουσι μὲν γὰρ *γίνεσθαι τἀγαθὰ* τὰ περιμάχητα δι' ἀρετῆς μᾶλλον ἢ κακίας, καὶ τοῦτο μὲν καλῶς, ὅτι μέντοι ταῦτα κρείττω τῆς ἀρετῆς ὑπολαμβάνουσιν, οὐ καλῶς». Καὶ ἡμεῖς δέ, εἰς τὸ αὐτὸ χωρίον τοῦ Ἀριστοτέλους ἀποβλέποντες, ἀλλὰ καὶ τοῦ προκειμένου μὴ ὀλιγωροῦντες συμπληροῦμεν τὸ μετὰ τὸ «τῶν ἀρετῶν» χάσμα ὧδε: «⟨ὑπολαμβάνουσιν⟩», ἢ οὕτως: «⟨νο-

μίζουσιν⟩». Κατὰ ταῦτα δὲ ἀναγινώσκομεν ἡμεῖς τὸ προκείμενον χωρίον ὡς ἑξῆς:

«ἐκεῖνοι μὲν γὰρ οὐ ταύτῃ διαφέρουσι τῶν ἄλλων, τῷ μὴ νομίζειν ταὐτὰ τοῖς ἄλλοις μέγιστα τῶν ἀγαθῶν, ἀλλὰ τῷ γίνεσθαι ταῦτα μᾶλλον διά τινος ἀρετῆς· ἐπεὶ δὲ μείζω ⟨τὰ⟩ ἀγαθὰ ταῦτα (ἐστί), καὶ τὴν ἀπόλαυσιν τὴν τούτων ⟨κρείττω, ἤ, μείζω⟩ τῶν ἀρετῶν ⟨ὑπολαμβάνουσιν⟩». Ἴσως δὲ καὶ οὐδὲν χάσμα ὑπάρχει μετὰ τά: «τῶν ἀρετῶν»· διότι εὐκόλως ἐκ τοῦ ἀνωτέρω ῥήματος «νομίζειν» νοεῖται καὶ μετὰ τά: *τῶν ἀρετῶν* τὸ αὐτὸ ἢ παραπλήσιον ῥῆμα καθ' ὁριστικήν·

1334 b, 6 «τυγχάνομεν δὴ διῃρημένοι πρότερον ὅτι φύσεως καὶ ἔθους καὶ λόγου δεῖ. τούτων δὲ ποίους μέν τινας κ.τ.λ.».

Καθ' ἡμᾶς, καὶ ἐν τῷ χωρίῳ τούτῳ φθορὰν διορῶντας, ἀναγνωστέον ὧδε: «τυγχάνομεν δὴ ⟨εἰρηκότες⟩ πρότερον, ὅτι φύσεως καὶ ἔθους καὶ λόγου δεῖ· τούτων ⟨μὲν οὖν⟩ ποίους τινας κτλ.»· πρβλ. 1332 a, 39 καὶ ἐφ. Ἠθ. Νικομ. Χ 10, 15 καὶ ἐφξῆς.

Αὐτόθι στίχ. 12 «καὶ διὰ τῶν ἠθῶν ὁμοίως ἦχθαι».

Πρὸ τοῦ: «*ὁμοίως*» ἐξέπεσε τό: ⟨μή⟩.

Αὐτόθι στίχ. 13 καὶ ἐφεξῆς «πρῶτον μέν, καθάπερ ἐν τοῖς ἄλλοις, ὡς ἡ γένεσις ἀπ' ἀρχῆς ἐστι καὶ τὸ τέλος ἀπό τινος ἀρχῆς ἄλλου τέλους, ὁ δὲ λόγος ἡμῖν καὶ ὁ νοῦς τῆς φύσεως τέλος,».

Μὴ ἀναγνωστέον ὡς ἑξῆς; :

«πρῶτον μὲν ⟨ὅτι⟩, καθάπερ ἐν τοῖς ἄλλοις, ⟨ὧν⟩ ἡ γένεσις ἀπ' ἀρχῆς ἐστι, καὶ τὸ τέλος ἀπό τινος ἀρχῆς [ἄλλου τέλους], ⟨οὕτω δὴ⟩ ὁ λόγος ἡμῖν καὶ ὁ νοῦς τῆς φύσεως τέλος,».

Αὐτόθι στίχ. 22 «φανερὸν δὲ καὶ τοῦτο· θυμὸς γὰρ καὶ

βούλησις, ἔτι δὲ καὶ ἐπιθυμία καὶ γενομένοις εὐθὺς ὑπάρχει τοῖς παιδίοις,».

Ἡμεῖς νομίζοντες, ὅτι τό: «φανερὸν δὲ καὶ τοῦτο», οὐχὶ εἰς τὰ ἀνωτέρω, ἀλλ' εἰς τὰ κατωτέρω ἀναφέρεται, ἀναγινώσκομεν ὧδε: «φανερὸν δὲ καὶ τοῦτο, ⟨ὡς⟩ θυμὸς [γὰρ] καὶ βούλησις, ἔτι δὲ καὶ ἐπιθυμία ⟨εὐθὺς καὶ⟩ γενομένοις ὑπάρχει τοῖς παιδίοις,». Σημειωτέον δὲ ὅτι ἔν τινι τῶν κωδίκων παραλείπεται τὸ *γάρ*.

1335 a, 24 καὶ ἐφεξῆς: «καὶ τὰ τῶν ἀρρένων δὲ σώματα βλάπτεσθαι δοκεῖ πρὸς τὴν αὔξησιν, ἐὰν ἔτι τοῦ σώματος αὐξανομένου ποιῶνται τὴν συνουσίαν· καὶ γὰρ τούτου τις χρόνος ὡρισμένος, ὃν οὐχ ὑπερβαίνει πληθύον ἔτι ⟨ἢ μικρόν⟩.—* διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν τῶν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δ' ἑπτὰ καὶ τριάκοντα [, ἢ μικρὸν]».

Τὰ ἀπὸ τῶν: «καὶ γὰρ τούτου τις—[, ἢ μικρόν]. ἀναγνωστέα καθ' ἡμᾶς οὕτως: «καὶ γὰρ τούτου (τοῦτ' ἔστι τοῦ ποιεῖσθαι τὴν συνουσίαν) τις χρόνος ὡρισμένος, ὃν οὐχ ⟨*ὑπερβαίνειν δεῖ πολλοῖς ἔτεσιν*⟩· διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν τῶν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δ' ἑπτὰ καὶ τριάκοντα ἢ μικρόν ⟨τι πλέον»⟩.

1335 b, 8-10 «πεπονημένην μὲν οὖν ἔχειν δεῖ τὴν ἕξιν, πεπονημένην δὲ πόνοις μὴ βιαίοις, μηδὲ πρὸς ἕνα μόνον **, ὥσπερ ἡ τῶν ἀθλητῶν ἕξις».

Τὸ μετὰ τό: «μόνον» κενὸν ὁ Susemihl συμπληροῖ διὰ τοῦ: «⟨σκοπόν⟩»· ἡμεῖς δὲ διὰ τοῦ: «⟨πόνον⟩», ἤ, τὸ πιθανώτερον, ἂν δεχθῶμεν τὴν γραφήν: «ἓν» ἀντὶ τοῦ: «ἕνα», συμπληροῦμεν διὰ τοῦ: «⟨ἔργον⟩»· πρβλ. 1339 a, 9-10. 1338 b, 34. Ξενοφ. Συμπ II, 17.

Αὐτόθι στίχ. 18-19 «ἀπολαύοντα γὰρ φαίνεται τὰ γεννώμενα τῆς ἐχούσης ὥσπερ τὰ φυόμενα τῆς γῆς».

Ὁ Scaliger, καθὼς καὶ ὁ Lambinus, ἤκασαν ἀντὶ τοῦ: «ἐχούσης» τὸ: «τεκούσης»· καθ' ἡμᾶς, ἂν ἦναι ἀνάγκη μεταβολῆς, πάντως οὐχί: «τεκούσης» γραπτέον, ἀλλὰ «κυούσης», διότι περὶ τῆς «ἐγκύου» ὁ λόγος, ἀλλ' οὐχὶ περὶ τῆς «τεκούσης»· «χρὴ δὲ καὶ τὰς ἐγκύους ἐπιμελεῖσθαι τῶν σωμάτων» (στίχ. 12). Ἀλλ' ἴσως οὐδεμία χρεία μεταβολῆς· διότι τὸ ῥῆμα *ἔχειν* ἐπὶ τοιαύτης σημασίας ἐν χρήσει εἶναι καὶ ἐν τῇ ἡμετέρᾳ γλώσσῃ.

Αὐτόθι στίχ. 19-22 «περὶ δὲ ἀποθέσεως καὶ τροφῆς τῶν γενομένων ἔστω νόμος μηδὲν πεπηρωμένον τρέφειν, διὰ δὲ πλῆθος τέκνων ἡ τάξις τῶν ἐθῶν κωλύει μηδὲν ἀποτίθεσθαι τῶν γινομένων».

Ὅτι τὰ: «διὰ δὲ πλῆθος — γινομένων», πρέπει νὰ ἀναγνωσθῶσιν οὕτω: «*μηδὲ* διὰ πλῆθος τέκνων *ἡ τάξις* τῶν ἐθῶν **κωλυέτω** (ἤ, **κωλύσῃ**) μηδὲν ἀποτίθεσθαι τῶν γινομένων». δῆλον· «ὡρίσθαι γὰρ δεῖ τῆς τεκνοποιίας τὸ πλῆθος» (στίχ. 22-23).

1336 a, 7-10 «ἔτι δὲ καὶ κινήσεις ὅσας ἐνδέχεται ποιεῖσθαι τηλικούτων συμφέρει».

Ὁ Susemihl ἐν μὲν τῇ πρώτῃ καὶ δευτέρᾳ ἐκδόσει ἀντὶ τοῦ: «τηλικούτων» ἔγραψε «τηλικούτους», ἐν δὲ τῇ τρίτῃ ἐρωτᾷ: «τηλικοῦτον?». Νομίζομεν ὅτι, ἂν πρὸ τοῦ: «*τηλικούτων*» τεθῇ τὸ ἄρθρον «*τῶν*», ἡ ἔννοια ἔχει καλῶς· πρβλ. στίχ. 30-31: «καὶ περὶ λόγων δὲ καὶ μύθων, ποίους τινὰς ἀκούειν δεῖ τοὺς τηλικούτους, ἐπιμελὲς ἔστω . . .» καὶ στίχ. 12: «ἃ τὸ σῶμα ποιεῖ τῶν τοιούτων ἀστραβές»· ἡ δὲ σύνταξις αὕτη: «ἔτι δὲ καὶ κινήσεις τῶν τηλικούτων συμφέρει ποιεῖσθαι ὅσας ἐνδέχεται».

Αὐτόθι στίχ. 18 «πάντα γὰρ ὅσα δυνατὸν ἐθίζειν, εὐθὺς ἀρχομένων βέλτιον μὲν ἐθίζειν, ἐκ προσαγωγῆς δ' ἐθίζειν».

Καθ' ἡμᾶς τό: *γὰρ* παρέλκει· τὸ δέ: «*ἀρχομένων*», ὅπως ἂν

συντακτικῶς ληφθῇ, ἐνταῦθα δὲν ἁρμόζει, οὐδ' ἀποδεχόμεθα τὴν γραφήν: «*ἀργομένους*», ἣν ὁ Schneiderus προέτεινεν, οὐδὲ τὴν τοῦ Spengel. «*ἀργόμενον*», ἀλλ' ὑποπτεύοντες, ὅτι τὸ κείμενον καὶ ἐνταῦθα εἶναι ἀνώμαλον καὶ ἐφθαρμένον, ἀποκαθίσταμεν, ὡς ἐξῆς ἀναγινώσκοντες:

«πάντα [γὰρ] ⟨μὲν οὖν⟩ ὅσα δυνατὸν ἐθίζειν, εὐθὺς ⟨μὲν ἐξ ἀρχῆς⟩ βέλτιον ἐθίζειν, ἐκ προσαγωγῆς δὲ [ἐθίζειν]»· πρβλ. και στίχ. 12: «συμφέρει δ' *εὐθὺς* καὶ πρὸς τὰ ψύχη συνεθίζειν *ἐκ μικρῶν παίδων*»· πρβλ. καὶ Ἀριστ. Ἠθ. Νικομ. II, 1, 5· «οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως *εὐθὺς ἐκ νέων* ἐθίζεσθαι,».

Αὐτόθι στίχ. 21 «περὶ μὲν οὖν τὴν πρώτην συμφέρει ποιεῖσθαι τὴν ἐπιμέλειαν τοιαύτην τε καὶ τὴν ταύτῃ παραπλησίαν».

Τὰ ἀπὸ τοῦ στίχου τούτου «περὶ μὲν — 34 σπουδασομένων», μετενεκτέα, καθὼς ὀρθῶς ἤδη καὶ ὁ Susemihl διεῖδε, μετὰ τὸν στίχ. 39 «*διατεινομένοις*»· παρατηροῦμεν δέ, ὅτι πρέπει ταῦτα οὐχὶ ὅπως νῦν ἐνταῦθα ἔχουσιν ἐκεῖ νὰ μετενεχθῶσιν, ἀλλ' ὧδε, ὡς ἡμεῖς νομίζομεν:

«⟨τὴν μὲν οὖν πρώτην ἐπιμέλειαν⟩ συμφέρει ποιεῖσθαι ⟨ταύτην⟩ τε καὶ τὴν ταύτῃ παραπλησίαν».

1336 b, 20 «τοὺς δὲ νεωτέρους οὔτ' ἰάμβων οὔτε κωμῳδίας θεατὰς θετέον».

Ἀλλ' ἀπορήσεις δήπου ὅπως παρὰ πάντα ταῦτα οἷός τ' ἐγένετο καὶ ἐπαινέσαι με πολλαχοῦ τοῦ βιβλίου. Κἀγώ, ἐλλόγιμε ἄνερ, ἐπὶ μακρὸν διηπορούμην καὶ ἐσκοπούμην ὅπως ἂν ταῦτα συνᾴδοντα εὕροιμι, ἀλλ' ἐπὶ πολὺ οὐκ ἔσχον, τελευτῶν δ' ἐνόησα τοὺς δαψιλεῖς ἐπαίνους ἐκείνους τοῦτο μάλιστα βούλεσθαι, πιθανωτέρας καταστῆσαι τὰς κατηγορίας. Εἰ γάρ, φαῖεν ἂν δήπου πάντες, ἄνθρωπος οὕτω σφόδρα τιμῶν καὶ προθύμως ἐπαινῶν με τοσαῦτα καὶ τηλικαῦτα ἠναγκάζετο καταγγεῖλαι καὶ ἐξελέγξαι με, πόσα καὶ πηλίκ' ἄρ' ἂν εἴη ἃ ἔσφαλται μὲν πάντως ἐμοί, σεσίγηται δ' αὐτῷ δι' εὔνοιαν; Ὁμολογεῖν ἀνάγκη.

Ἐπεὶ δ' οὐ μόνον ἐν τοῖς καθ' ἕκαστα ἀλλὰ καὶ ἐν τῇ καθόλου ἐπιβολῇ ἐδόκει μοι Ψυχάρις σφόδρ' ἁμαρτάνειν, ἐβουλόμην μὲν ἐλέγξαι αὐτὸν καὶ ἀβλαβῆ καταστῆσαι (αὐτὸν γὰρ πλάνης ἀπαλλάξαι καὶ ἰάσασθαι χαλεπὸν ἤδη ὑπελάμβανον, δικαίως, ὡς ὕστερον ἔδειξεν), ὤκνουν δὲ νὴ Δί' ἐπὶ πολὺν χρόνον ἀφορῶν εἰς τἀνθρώπου τὸ φιλόνικον καὶ θρασὺ καὶ σοφιστικόν, οὐ μὴν ἀλλ' ἐνθυμηθεὶς ὡς τὰ τῆς ἡμετέρας γλώσσης ἀγνοοῖτο ἔτι ἐν τῇ Ἑσπερίᾳ σφόδρα καὶ πολλοὶ ἂν πιστεύσειαν ταῖς πλάναις ταύταις, ᾠήθην δεῖν χάριν τῆς ἀληθείας ἀποδῦναι εἰς τὸν ἀγῶνα. Ἐντεῦθεν ἐξήλεγξα μὲν τὰ καθ' ἕκαστον ἐν τῇ Ἐφημερίδι Κορομηλᾶ 1887 Φεβρουαρίου 7ῃ, 8ῃ, 10ῃ καὶ 11ῃ, ἀπέδειξα δ' ἐν Berliner philologische Wochenschrift 1887 Αὐγούστου 6 σελ. 1009-1018 αὐτὴν ταύτην τὴν ἐπιβολὴν τοῦ συγγραφέως παντελῶς ἡμαρτημένην. Ἔφασκον γὰρ τὰ βιβλία τοῦ μέσου λεγομένου αἰῶνος οὐ καθαρὸν καὶ τοῖς χρόνοις συνᾴδοντα, ᾗ Ψυχάρις ᾤετο, παρέχειν ἡμῖν λόγον, ἀλλὰ σύμμικτον ἀρχαίοις καὶ νέοις, αὐτὸν δ' οὐχ οἷόν τε εἶναι διαστέλλειν καὶ φυλοκρινεῖν ταῦτα διὰ τὸ ἠμεληκέναι τῆς ἀρχαίας καὶ τῆς μεταγενεστέρας γλώσσης καὶ ὅλως ἀμοιρεῖν παιδείας ἑλληνικῆς· ἀπαριθ-

μοῦντ' ἄρα τοὺς ἐν τοῖς βιβλίοις ἐκείνοις τύπους τοῦ ἄρθρου καὶ μιᾶς πτώσεως τοῦ πληθυντικοῦ, οἷς ἐπεχείρησεν, εἰς ἀληθὲς καὶ βέβαιόν τι ἐξικέσθαι οὐ δύνασθαι. Ἀπέδειξα δὲ ταῦτα πολυαρίθμοις καὶ ἀναντιλέκτοις παραδείγμασι καὶ ἐπιχειρήμασιν. Ὁ δὲ εἰς μὲν τὰ ἐν τῇ Ἐφημερίδι ἀποκρίνασθαι οὐκ ἐτόλμησεν· ᾔδει γάρ, ὡς ἔοικεν, ὅτι ἐν Ἕλλησιν, ἐμπείροις ὁπωσδήποτε τῆς ἑαυτῶν γλώσσης, οὐκ ἂν νικῴη ἀγωνιζόμενος· ἠρκέσθη τοίνυν ὀνομάσαι τὰ ἐκεῖ ἐξεληλεγμένα «tristes articles, qu'ils ne font honneur ni au journal qui les publie ni à l'homme qui les signe». Essais Τόμῳ Β'. σελ. κα'. Ὁρᾷς ὡς ῥᾷστα ὁ ἄνθρωπος ἀπηλλάγη πραγμάτων παλαιστὴς ὢν δεξιός; Πρὸς δὲ τὰ ἐν Berl. phil. Woch. ἀντεπεξῆλθε ῥᾴονα τὸν ἀγῶνα ἐν οὐκ εἰδόσιν ἀκριβῶς τὰ ἡμέτερα λογισάμενος, καὶ τοῦτ' εἰκότως, ὡς ἔδειξεν. Κατειπόντος γὰρ ἐμοῦ ὡς πλημμελῶς φαίη τὰ βιβλία τοῦ μέσου αἰῶνος καθαρὰν καὶ πιστὴν εἰκόνα τοῦ τότε λαλουμένου ὑπὸ τῶν πολλῶν λόγου παρέχειν, καὶ ὡς οὐκ εἰδείη διαστέλλειν τὰ νεώτερα τῶν ἀρχαίων καὶ ὡς πολλῶν καὶ πολλοῦ ἀξίων τεκμηρίων, λέγω τὰς ἐπιγραφάς, τὴν Βυζαντίδα, τὴν συλλογὴν Trinchera, τὸ Χρονικὸν Μορέου, οὐ φροντίσειε παντάπασιν, ἔγνω ἄλλ' ἀντ' ἄλλων ἀποκρίνασθαι καὶ τὸ ζήτημα ἐκφυγεῖν. Ἐπέγραψέ τε γὰρ πάντῃ ἀπροσδιονύσως τὴν ἀπόκρισιν αὑτοῦ ἐν Berl. phil. Wochenschrift 1888 ἀρ. 17, 18. 20 «Zur Entstehung der neugriechischen Schriftsprache», καίτοι περὶ τούτου οὐδεὶς ἦν λόγος, καὶ ἐπήνεγκε τέσσαρα ἐπιχειρήματα καθάπερ καὶ ἡ ἐπιγραφὴ πάντῃ ξένα τοῦ πράγματος· ταῦτ' ἀκριβῶς ἀποδέδεικταί μοι ἐν Einleitung σελ. 236 κέξ. καὶ οὐδεμία χρεία ἐπαναλαβεῖν.

Ἀλλ' ἵνα τὴν φύσιν τἀνθρώπου καταμάθῃς, βούλομαι τῆς ἀποκρίσεως ἐκείνης ὀλίγ' ἄττα σὺν σοὶ ἐξετάσαι. Ἐλεγχθεὶς γὰρ ὅτι βιβλία πολλοῦ ἄξια ἀγνοήσειεν, φησί «Es ist mir allerdings angenehm, wenn Herr Rez. die mittelalt. Autoren so ritterlich vertheidigt u. Trinchera's Texte sogar als die allerwichtigsten bezeichnet». Οὐ φαίνεταί σοι ταῦτα, θαυμάσια; Οὐ τολμᾷ, ὡς ὁρᾷς, φάναι ἐπίστασθαι μὲν ταῦτα, μικροῦ δὲ λόγου ἄξια ἡγησάμενος παραλιπεῖν, ἀλλ' εἰς γέλωτα πειρᾶται τρέπειν τὸ πρᾶγμα· προστίθησι δ' ὅτι ὅπερ ἐγὼ παρεθέμην παράδειγμα ἐκ τοῦ Trinchera *μὲ τὲς σικέας* 136 (1129) ἀναιροῦν ἣν ἐκεῖνος ἔθετο ἀσύστατον θεωρίαν, «beweist für die

mittelt. Autoren nichts (πῶς γὰρ οὔ;), zweitens ist es wahrscheinlich auch an und für sich ohne Wert (πῶς καὶ τοῦτο;). Bei mir war von Handschriften die Rede (219, 1)». Ἦν, φησίν, αὐτῷ ὁ λόγος ἐν σημειώσει τινὶ περὶ χειρογράφων· ἐξῆν ἄρ' αὐτῷ, καὶ ταῦτα συγγράφοντι δοκίμιον τῆς ἱστορικῆς γραμματικῆς, ἀγνοεῖν τὴν συλλογὴν Trinchera, διὰ τὸ οὐκ ἐκ χειρογράφων, τοῦτ' ἔστιν ἀντιγράφων, ὡς ἔοικεν, ἀλλ' ἐξ αὐτογράφων εἰλῆφθαι. Μανθάνεις συλλογισμόν!

Αἰτίαν δὲ σχὼν ἀμελῆσαι τῆς μεταγενεστέρας ἐπονομαζομένης γλώσσης καθάπερ καὶ τῆς παλαιοτέρας Βυζαντιακῆς φησιν «Rez. weiss ganz genau, dass ich mich hauptsächlich mit der ngr. Litteratur vom X bis zum XVII Jahrh. beschäftige und es gleich am Anfang angekündigt habe . . . Vom Mittelalter im allgemeinen hatte ich nicht die Absicht zu reden. . .». Κάλλιστ' ἐπαινῶ· τοσοῦτο δὲ μόνον ἐρέσθαι βούλομαι, εἴ τις τῆς μὲν μεταγενεστέρας γλώσσης καὶ τῆς τοῦ μέσου αἰῶνος μέχρι τῆς δεκάτης ἑκατονταετηρίδος ἀμελήσειεν, ἧς πάμπολλα ἡμῖν καὶ ἀπαραιτήτως ἀναγκαῖα εἰς τὴν ἱστορίαν τῆς γλώσσης πρόκειται τεκμήρια ἐν βιβλίοις καὶ ἐπιγραφαῖς, ἐξετάζοι δὲ μόνα τὰ ἀπὸ τῆς δεκάτης ἑκατονταετηρίδος μέχρι τῆς ἑπτακαιδεκάτης συντεταγμένα, ἅπερ καὶ ὀλίγα καὶ κακῶς ἐκδεδομένα ἢ καὶ πάντῃ ἀνέκδοτα τυγχάνει ὄντα, ἔξεστιν αὐτῷ, ἣν μόνον σωφρονῇ, φάσκειν μέλλειν αὐτῷ ἱστορικῆς γραμματικῆς τῆς νεωτέρας Ἑλληνικῆς καὶ ταύτης Δοκίμια παχύτατα μὲν τὸν ὄγκον, ἰσχνότατα δὲ τὸν νοῦν συντάττειν; Ἐμοὶ μὲν οὐ δοκεῖ, οἶμαι δὲ οὐδὲ σοὶ δήπου. Ὅτι δὲ καὶ Ψυχάρις ἄλλως νῦν γιγνώσκει δῆλον ἐξ ὧν ἐν σελ. μ'. καὶ 367 τῶν Études φησίν, διατεινόμενος μόνον, ἤν τις τὰ τῆς γλώσσης ἀπ' ἀρχῆς μέχρι σήμερον διὰ πάντων ἐξετάζῃ καὶ φυλοκρινῇ, οἷόν τ' εἶναι καταμαθεῖν αὐτά. Ἀληθῆ ἄρα ἔλεγον ἐγὼ φάσκων τὴν γνῶσιν τῆς συμπάσης Ἑλληνικῆς ἀπαραίτητον εἶναι παντὶ περὶ τὴν ἱστορίαν τῆς γλώσσης τοῦ μέσου καὶ νεωτέρου αἰῶνος σχολάζοντι καὶ ταύτην ἄριστον κριτήριον πεφυκέναι τοῦ ἀληθοῦς καὶ τοῦ πλαστοῦ τῶν ἐν τοῖς βιβλίοις ἀπαντώντων καὶ Ψυχάρις μεταπέπεισταί μοι νῦν καὶ ἀκολουθεῖ τῇ ἐμῇ γνώμῃ ταύτῃ καὶ ταύτην πολλαχοῦ τοῦ βιβλίου ὡς ἰδίαν αὐτοῦ ἀναγράφει. Οὐ μὴν ἀπηλλάγη πω τῆς ἀρχαίας δόξης, διόπερ ἐν τῷ

αὐτῷ βιβλίῳ Études σελ. κ' ἀντιφάσκων ἑαυτῷ ἐπαινεῖ ἄλλους μὲν ὅτι περὶ μόνην τὴν ἀρχαίαν Κρητικὴν καὶ Λακωνικὴν διάλεκτον σχολάσειαν, μακρὰ χαίρειν εἰπόντες τῇ νῦν Κρητικῇ καὶ Τσακωνικῇ, ἄλλον δ' ὡς μόνην τὴν νεωτέραν τῶν Κυπρίων διάλεκτον ἐξετάσειεν οὐδένα λόγον τῆς ἀρχαίας Κυπρίας διαλέκτου ποιησάμενος. Οὕτω τὰς ἀλλοτρίας γνώμας παραλαμβάνει μὲν καὶ ὡς ἰδίας μετὰ κόμπου προφέρεται καὶ δὴ καὶ πειρᾶται ταύταις ἐλέγχειν τὸν ταύτας προδιδάξαντα, ἀλλὰ κατά τινα νέμεσιν οὐχ οἷός τ' ἐστὶν αὐταῖς πάντ' ἀπταίστως διὰ τέλους κατακολουθῆσαι καὶ χρῆσθαι ἀλλ' ἀνερμάτιστος ἄνω καὶ κάτω φέρεται.

Ἔτι δ' ἐμοῦ εἰπόντος ὡς σφάλλοιτο Ψυχάρις ἡγούμενος τὴν αἰτιατικὴν τῆς πρώτης κλίσεως εἰς -*ας* δι' ὅλου τοῦ μέσου αἰῶνος καὶ μόνην ταύτην ὑπὸ τῶν Ἑλλήνων λέγεσθαι, τὴν δ' αἰτιατικὴν εἰς -*ες* ἀπὸ τοῦ δεκάτου τρίτου αἰῶνος ἄρχεσθαι κἀπὶ τούτῳ προσαγαγόντος μεταγενεστέρας Ῥοδίας ἐπιγραφῆς παραδείγματα *ταῦτες*, *ἄλλες*, οὗτος ᾠήθη πρέπον εἶναι ἀντειπεῖν τάδε: «Abgesehen von der nicht sonderlich genauen Titelangabe muss es statt 134 heissen 135 z. 6 (oder richtiger 7). Ferner steht dort folgendes «This inscription must be of a late period». Zeile 4 und 6 werden die Laute in ἰςς-εἰς zweimal verwechselt. Wie kommt es, dass Newton's Bemerkung und Zeile 4-6 dem Herrn Rez. nicht aufgefallen sind? Ich möchte sicherlich nicht behaupten, dass Herr Rez. das Buch nicht *de visu* citiert hat; sehr vertraut scheint er mir jedoch mit demselben nicht zu sein».Οὕτω Ψυχάρις οὐκ ἠπίστατο μὲν ὅτι αἰτιατικαὶ τῆς πρώτης κλίσεως εἰς -*ες* χιλίοις ἔτεσι πρότερον τοῦ Προδρόμου ἐν τῇ Ἑλλάδι γνωσταὶ εἶεν, διδαχθεὶς δὲ τοῦτο πειρᾶται διαβάλλειν καὶ ἐξευτελίζειν τὸ πρᾶγμα, ὡς οὐκ ἀκριβεστάτη ἡ παραπομπὴ γένοιτο καὶ ὡς ἡ ἐπιγραφὴ μεταγενεστέρα εἴη καὶ τὸ πάντων δεινότατον ὡς οὐκ αὐτὸς ἴδοιμι τὸ βιβλίον,ἀλλ' ἄλλοθεν παραλάβοιμι ἤτοι κλέψαιμι τὴν παραπομπήν· ἐλέγχεσθαι γάρ μέ φησιν τοῦ βιβλίου ἄπειρον ὄντα οὐδ' αἰσθανόμενον ὡς τοῦ ει τῷ ι ἐν ταύτῃ συγκεχυμένου μεταγενεστέρα καὶ δὴ ἄχρηστος ἡ ἐπιγραφὴ εἴη. Καὶ ταῦτ' οὐ δοκεῖ σοι δεινοῦ τὴν φύσιν παλαιστοῦ εἶναι; Ἐφιέμενος δ' ὡς ἔοικε πάσῃ τέχνῃ καὶ μηχανῇ τὴν δύναμιν τῆς ἐπιγραφῆς ἀφανίσαι ἐπανέρχεται αὖθις ἐπὶ τὸν ἔλεγχον αὐτῆς ἐν Essais Τόμ. Β', σελ.

ις'-ιζ' λέγων «il est établi, par la réplique de la Berl. Phil. Woch., non seulement que l'inscription en question n'a pas la valeur que M. Chatzidakis lui reconnaissait de confiance, mais encore que M. Chatzidakis n'avait jamais lu l'inscription en entier(1) et qu'il citait le livre sans l'avoir vu, probablement d'après une note prise de seconde main». Ἐν ὑποσημειώσει δὲ προστίθησί τινας ἔτι ἀποδείξεις, ὡς οἴεται, ὅτι κλέψαιμι τὴν παραπομπήν· ταύτας δὲ λέγει εἶναι ὅτι ἀνέγραψα πᾶσαν τοῦ βιβλίου τὴν ἐπιγραφὴν «Collection of ancient Greek inscriptions in the British Museum part II, edided C. T. Newton 1883» δέον εἰπεῖν μόνον «Newton, gr. Inscr. II 135, (ἀλλ' εἰ τοῦτο ἐποίουν, πολλῷ προθυμότερον καὶ νὴ Δία πιθανώτερον ἂν μ' ἤλεγχε!), ὅτι παρέλιπον τὸ by, ὅτι διέλαθέ με τὸ τοῦ Newton «late period» καὶ τὸ ἰςς = εἰς, οἷς πᾶσι, φησί, τρανῶς ἀποδείκνυται οὐ μόνον ὡς οὐδέποτε ἐγὼ τὴν ἐπιγραφὴν εἶδον ἀλλὰ καὶ ὅτι αὕτη ἅτε συγχέουσα τὸ ει τῷ ι ἄχρηστος τῇ φωνητικῇ τυγχάνει οὖσα.

Ὁρᾷς ὡς ἤλεγξέ με περιφανῶς καὶ τὸ τῆς παροιμίας ἑάλωκα καὶ μέσος ἔχομαι; Πῶς οὖν ἀπαλλάξομαι τοῦ αἰσχροῦ ἐγκλήματος; οὐ γὰρ εἰώθαμεν οἱ ἄνθρωποι συμβολαίοις πιστοῦν ὁπόσ' ἂν βιβλία ἀναγνῶμεν· χαλεπὸν ἄρα μᾶλλον δ' ἀδύνατον φήσεις δῆτα ἀποτρίψασθαί με τὴν κηλῖδα ταύτην. Μάνθανε τοίνυν ὅπως κατὰ τὸν τραγικὸν τῶν ἀδοκήτων πόρον εὗρε Θεός. Εἰ γὰρ ὑμεῖς οἱ Γάλλοι ἔχετε τὴν παροιμίαν «calomniez, calomniez, il en restera toujours quelque chose», οἱ τῶν Ἑλλήνων παῖδες ἑτέρᾳ φιλοῦσι χρῆσθαι τῇδε «ἀγαπᾷ ὁ Θεὸς τὸν κλέφτη, ἀλλὰ πλιὸ πολὺ τὸν νοικοκύρι». Ἴσμεν γὰρ πείρᾳ μαθόντες τὸν Θεὸν πεποιηκότα μὲν ἀνθρώπους ἑτοίμους συκοφαντεῖν τε καὶ πᾶσαν ἄλλην ἀπεργάζεσθαι κακίαν καὶ ἀδικίαν, πεποιηκότα μέντοι καὶ ἄνδρας ἀγαθοὺς ἐπὶ τῷ σῴζεσθαι τοὺς ἠδικημένους. Ὃ κἀμοὶ ἐν τῷ ἀγῶνι τούτῳ τῇ τῶν θεῶν εὐνοίᾳ συμβεβηκέναι φημί. Μαθητὴς γὰρ ἐμὸς ἐκ Ῥόδου Δέσποτας τοὔνομα ἐνεχείρισέ μοι ἐν ἔτει 1883 ἀντίγραφον ἀρχαίας ἐπιγραφῆς, ἣν ἔφασκεν ἐκεῖ ἀντιγράψαι. Ταύτην δ' ἐγὼ λαβὼν καὶ ἐξετάσας παρεσκεύαζον εἰς ἔκδοσιν, ὅτ' ἔννοιά μοι ἐπῆλθε μὴ ἄλλῳ τῳ ἐκδεδομένη πρότερον εἴη.

(1) Ὅπερ ἄρα ἐν Berl. phil. Wochen. εἰκάζων ἐξήνεγκε, τοῦτο χρόνου διαγενομένου σιγῇ αὐτῷ ἀποδέδεικται καὶ προφανὲς καθέστηκεν, *il est établi*.

Ὅτι μὲν οὐκ ἔκειτο ἐν τῇ μεγάλῃ τοῦ Boeckh συλλογῇ σαφῶς ᾔδειν, ἀλλ' ὅτι οὐδ' ἐν ἄλλῃ τινὶ νεωτέρᾳ, τοῦτ' οὐκέτι. Οὐκοῦν βουλόμενος ταῦτ' εἰδέναι ἠρόμην ἄνδρα φίλτατον καὶ σεβαστόν μοι διδάσκαλον, Στέφανον Κουμανούδην λέγω. Ὁ δὲ τὸ τοῦ Newton βιβλίον ἐκεῖνο ἐνεχείρισέ μοι καὶ ἐπέτρεψεν οἴκαδε λαβεῖν αὐτὸ καὶ καθ' ἡσυχίαν ἐξετάσαι. Ὅτι δ' ἀληθῆ λέγω, μάρτυρα παρέξομαι ἐπιστολὴν τοῦ ἀρίστου ἀνδρός, ἣν αἰτήσαντί μοι προθύμως ἔδωκεν.

Φίλε κύριε Γ. Ν. Χατζιδάκη,

Ἀπαντῶν εἰς ὅ μ' ἐρωτᾶτε, δηλῶ ὑμῖν διὰ τοῦδε, ὅτι ἀληθῶς ἐλάβετε παρ' ἐμοῦ πρὸ πολλῶν ἐτῶν, πιθανώτατα κατὰ τὸ 1883 ἢ 1884, τὸ βιβλίον τοῦ Newton, British Museum κτλ.

Ἐν Ἀθήναις τῇ 24 Ὀκτωβρίου 1889.

ΣΤΕΦΑΝΟΣ Α. ΚΟΥΜΑΝΟΥΔΗΣ

Οὐκ ἔκλεψ' ἄρα ἔγωγε, ὁ δὲ Ψυχάρις ἀδίκως ἤλεγχε καὶ ἐσυκοφάντει με ἀποβλέπων εἰς τυπογραφικὸν παρόραμα τοῦτο μὲν τοῦ ἀριθμοῦ 134 ἀντὶ 135 (ὅπερ θείᾳ τινὶ τύχῃ καὶ ἐν τῇ ἀποκρίσει αὐτοῦ ὁμοίως ἔσφαλται), τοῦτο δὲ τῆς παραλείψεως τοῦ by, καὶ διατεινόμενος ὅτι ἡ ἐπιγραφή, ἅτε χρόνων μεταγενεστέρων οὖσα (late period) καὶ παρέχουσα *ις* ἀντὶ *εἰς*, οὐδὲν περὶ τοῦ *αι* ἀποδεῖξαι οἵα τ' ἐστίν, ἃ παντάπασιν ἀναλήθη· οἶσθα γὰρ σαφῶς, ὡς ὅσα τοῖς κατ' ἐξοχὴν λεγομένοις φιλολόγοις, λέγω τοῖς περὶ τὴν ἀρχαίαν Ἑλληνικὴν σχολάζουσι, μεταγενέστερα, posteriora, spät, late κ.τ.τ. νομίζεται καὶ ὀνομάζεται, ἡμῖν τοῖς ἐρευνῶσι τὴν μέσην καὶ νεωτέραν Ἑλληνικὴν πάνυ ἀρχαῖα ἂν εἴη. Αὐτίκα Πολύβιος καὶ τὰ ἱερὰ βιβλία μεταγενέστερα δικαίως ὑπ' ἐκείνων καλεῖται, παλαιότατα δ' ὑφ' ἡμῶν. Ἐπιγραφὴ ἄρα μεταγενεστέρα τῷ Newton, πάνυ ἀρχαία ἡμῖν ἐστιν. Καὶ μὴν ὡς οὕτως ἐπ' ἀληθείας ἔχει, δῆλον οἷς περιέχει θεῶν ἀρχαίων ὀνόμασι καὶ διαλεκτικοῖς ἴχνεσιν, οἷον *τειμαθείσας τᾶς γυναικός*, *Διονυσιαστᾶν*, *Ἀθαναϊστᾶν*, *Διοσαταβυριαστᾶν*, *ἀναλωθεισᾶν*, *Ἐρανιστᾶν*, *ἐπισκευάν*. Ὅτι δὲ καίπερ συγχέουσα τὸ ει τῷ ι οἵα τ' ἐστὶ μαρτυρῆσαι περὶ τοῦ αι, ἐπίστασαι δήπου ἐνθυμούμενος

τὸ μὲν *ει* εἰς *ι* τραπῆναι πολὺ πρὸ Χριστοῦ, τὸ δὲ *αι* εἰς *ε* πολὺ μετὰ Χριστόν. Διὰ τοῦτο τοίνυν τὸ ε τοῦ Ῥοδίου ταῦτες, ἄλλες ἀποδεικτικόν ἐστι τῆς ὀρθῆς γραφῆς, ὅτι πιθανῶς ἐκ χρόνων διαστελλόντων ἔτι ἐν τῇ προφορᾷ τὸ αι τοῦ ε κατάγεται, ὅσα δὲ Ψυχάρις ἀπὸ τῆς δωδεκάτης ἑκατονταετηρίδος καὶ ἑξῆς φέρει τούτου παραδείγματα οὐδαμῶς. (Ἐν τῷ νεωτάτῳ παγκάλῳ βιβλίῳ τοῦ ἀγαπητοῦ μοι Π. Καββαδίου Fouilles d'Épidaure σελ. 69-70 κεῖται ἐπιγραφὴ Σπάρτης (ἀριθ. 209) παρέχουσα δὶς **ἔχουσες** (στ. 24, 26) ἀντὶ ἐχούσας. Γέγραπται δ' ἡ ἐπιγραφὴ 66-68 μετὰ Χριστόν. Ὁρᾷς ὡς παλαιά!).

Ἆρ' οὐκ ᾔδει Ψυχάρις τὰς τῶν χρόνων διαφορὰς ταύτας, ἢ ἠπίστατο μὲν ἄριστα, προσεποιεῖτο δ' ἀγνοεῖν, ἵν' ἐπὶ τούτων τὴν αἰσχρὰν μομφὴν ταύτην κατ' ἐμοῦ στηρίξειε καὶ ἡττημένος δόξειε νικᾶν;

Τοιαύτη, ὡς ὁρᾷς, ἐστὶν ἥ τε ἀπόκρισις καὶ ἡ κατηγορία Ψυχάρι ἐν ἔτει 1887, τὰ δ' ἑξῆς πολλῷ χείρω. Οὐδένα γὰρ καιρὸν παρέλιπεν οὐδ' ἐπαύσατο περὶ ἐμοῦ ἀναλήθη λέγων καὶ διαβάλλων· πολλὰ δ' ἔχων τοῦ πράγματος τεκμήρια ὀλίγ' ἄττα παραθέμενος παύσομαι, ἅτε ἀηδῶς προσπίπτοντός μοι τοῦ τοιούτου ἐλέγχου. Αὐτίκα ἐν Ταξειδίῳ σελ. 223 γράφει περὶ ἐμοῦ: «Διάβασα μιὰ μέρα σὲ μιὰ φημερίδα γιὰ ἕνα γλωσσολόγο ποῦ μιλοῦσε γιὰ τὴ γλῶσσα. Ἀφοῦ τὰ εἶχε πεῖ ὅλα — ἔτσι ἔλεγε τὸ φύλλο — βγῆκε ἕνας νὰ τοῦ ῥωτήξῃ κατιτίς ἀκόμη... Ἐρωτηθεὶς δὲ ὁ κ. Χ., ἔγραφε ἡ γαζέττα, ἀπεκρίθη. Τόντις ἀπεκρίθη ὁ κ. Χ. μὲ μεγάλη προθυμία καὶ χτύπησε ὅλο τὸν κόσμο, ἐμένα μέσα 'ς τοὺς ἄλλους· ἡ γαζέττα τύπωνε τὸ λόγο του». Ταῦτα λέγει ὁ ἄνθρωπος παντάπασιν ἀναλήθη· οὐδέποτε γὰρ περὶ ἐμοῦ τοιαῦτα ἐν ἐφημερίδι ἐγράφη (τὰ εἶχε πεῖ ὅλα κττ.), ἢ δειξάτω ἡμῖν τὴν ἐφημερίδα ἐκείνην· ἀλλ' οὐκ ἂν ἔχοι.

Μέμνησαι ὡς Ψυχάρις διισχυρίσατο ἀπαράδεκτον εἶναι τοὐμὸν *λῶ* ὡς οὐδαμοῦ δῆθεν ἀναγιγνωσκόμενον. Οὐ μὴν ἀλλ' ἀνεγιγνώσκετο, καὶ τοῦτ' ἐν πολλοῖς βιβλίοις, καὶ ἐγὼ ἀποτρίψασθαι τὴν κατηγορίαν βουλόμενος παρεθέμην (1887) ἐν Πεντηκονταετηρίδος τοῦ ἐθνικοῦ πανεπιστημίου σελ. 199 πολλὰ τούτου τεκμήρια καὶ παραπέμψας εἰς τὰ βιβλία ἐκεῖνα ἀπέδειξα ἐν πολλῇ χρήσει ὂν τὸ ῥῆμα οὐ μόνον ἐν Κρήτῃ ἀλλὰ καὶ ἐν Κύπρῳ καὶ ἐν Μάνῃ καὶ ἐν Κυθήροις, προσέθηκα

δὲ ὡς τοῦ λοιποῦ οὐκ ἂν τολμήσειε Ψυχάρις καταγγεῖλαί με πλάσαι αὐτό. Εἰς ταῦτα ἀφορῶν δυοῖν ἔτεσιν ὕστερον (1889) ἐν Σίμωνι Πορτίῳ σελ. να' σημ. πειρᾶται ἑρμηνεῦσαι τοὺς λόγους αὐτοῦ ὧδε: «*gratuit*, en français, veut dire: sans preuve, et pas: mensonger. Ce sens n'aurait pas échappé à M. Chatzidakis, s'il avait réfléchi un moment à l'origine latine de ce mot et particulièrement au proverbe: Quod gratis asseritur, gratis negatur. Quand un linguiste cite comme forme courante une forme difficile dont il ne soupçonne pas lui-même la difficulté, on est en droit de se demander si son observation est exacte ou non. Le recueil de formes dialectales est chose trop délicate pour que quelqu'un puisse se prétendre infaillible en la matière, et les débats scientifiques ne comportent pas ces susceptibilités fantastiques. C'est le fond de la question qu'il fallait aborder, c'est-à-dire expliquer λῶ».

Ταῦτ', ἐλλόγιμε, οὐ δοκεῖ σοι Γοργίᾳ τινὶ μᾶλλον πρέπειν ἢ ἀνδρὶ ἐπιστήμονι θέλοντι εἶναι; Ποῦ δέ, ἐρωτῶ, τὸ ἀνώμαλον τοῦ τύπου *λῶ* ὅπερ ἐγὼ μὲν οὐχ οἷός τ' ἐγενόμην αἰσθέσθαι, ὁ δ' ᾔσθετο; μὴ οὐκ ἠδύνατο ἐκ τοῦ *λέεις λέει* γενέσθαι λέω, ὅθεν ῥᾷστα καὶ ὁμαλώτατα *λῶ*, καθάπερ τὸ θεωρῶ θωρῶ, τὸ χρεωστῶ χρωστῶ, τὸ Θεόδωρος Θόδωρος, τὸ νεοσσὸς νοσσός, νεωπὸς νωπὸς καὶ μυρί' ἄλλα γέγονεν; Ὁ Ψυχάρις τὸ τῆς παροιμίας κατ' Ἀκεσίαν ἰάσατο καὶ μεῖζον θἄτερον ποιήσας τῇ πάλαι κατηγορίᾳ νέαν προσέθηκε φάσκων με οὐδ' αἰσθάνεσθαι τὸ παράπαν τῶν ἐν τῷ πράγματι ἀνωμαλιῶν αἳ τῷ Ψυχάρι φρονίμως ποιοῦντι παντελῶς σεσιώπηνται.

Ἐπιστέλλων ὁ Ψυχάρις τῷ Blass τὴν Κυριακὴν προσευχὴν προσηρμοσμένην τῇ νεωτέρᾳ ἡμῶν ἀπαγγελίᾳ ἔγραφε pwise, ὃ ἐγὼ ἔκρινα ἐπίμεμπτον· πάντες γὰρ ἴσμεν, ὡς τῆς διφθόγγου ui καθάπερ καὶ τῆς oi καὶ ai καὶ ei τὸ ὑποτακτικόν, τὸ λεπτότερον, φωνῆεν εἰς ἡμίφωνον τρέπεται, οὐχὶ τὸ προτακτικόν, τὸ ἁδρότερον, διό φαμεν, τοῦ εἶπα (tuipa) ποῦ ἦταν, βοὔηθα (οὕτως ἐν Κρήτῃ), τό εἶδα, τό εἶπα, τό εἶχα, τό ἤθελα, βόηθα, καϊμός, χαϊμός, κλαϊματα, γαϊδαρος, πηδαει, λεϊμόνι κττ., τοῦ *ι* μετὰ τῶν ἁδροτέρων φωνηέντων συναλειφομένου καὶ τούτοις προσκολλωμένου δίκην ἡμιφώνου. Φυσιολογικῶς ἄρα πάντη ἀδύνατον ἐν τῇ καθ' ἡμᾶς ἑλληνικῇ τὸ τοῦ Ψυ-

χάρι pwise. Τοῦτο τοίνυν ἐξήλεγξα ἐγώ, καὶ τούτῳ τὸν ἄνθρωπον παρώργισα. Οὐκοῦν ἐπανέρχεται σελ. 212 σημ. τῶν Études ἐπ' αὐτὸ ἰσχυριζόμενος ῥητῶς φάναι «qu'il s'agit d'un sujet special» οὐδὲ κατὰ τὴν προφορὰν τῶν νέων Ἑλλήνων ταῦτα λεχθῆναι. Συνῆκας ὅ λέγει; τὰ ἐπισταλέντα τῷ Blass, φησίν, οὐ τῶν νῦν Ἑλλήνων ἀλλὰ d'un sujet special τὴν προφορὰν δηλοῦν, ἐμὲ δὲ ψεύδεσθαι λέγοντα ὡς Ψυχάρις τούτοις τὴν νέαν ἀπαγγελίαν εἰκονίσαι βούλοιτο. Ἀλλ' ἔστι πρὸς Διὸς ταῦτα νοῦν ἔχοντα; Ἔξεστιν ἐν βιβλίῳ τὴν προφορὰν τῆς ἀρχαίας τῶν Ἑλλήνων γλώσσης ἐξετάζοντι παρατίθεσθαι δεῖγμα τῆς καθ' ἡμᾶς προφορᾶς καὶ τοῦτο οὐχὶ τῆς κρατούσης παρὰ πᾶσιν, ἀλλὰ τῆς ἰδιαζούσης τῳ; Ταῦτα Ψυχάρις φησὶν ἐκφεύγων τὸν ἀγῶνα, ἔστι δὲ παντάπασιν ἀναλήθη, καθὰ Blass ἐλέγχει λέγων «Herr J. Psichari in Paris hat mir . . . . . eine Übersetzung des Vaterunsers (Matth. 6,9 ff.), die er selbst angefertigt, mitgetteilt, mit beigefügter *genauer phonetischer Transskription*, dies auf Grund der Aussprache eines Griechen, der, aus Chios vie Herr Ps. selbst gebürtig, *10 Jahre in Athen zugebracht hat* **und die heutige griechische Gemeinsprache spricht.**» Τῇ συνήθει ὡς ὁρᾷς, προφορᾷ τὸν Χῖον ἐκεῖνον χρῆσθαι ὁ καλὸς κἀγαθὸς Blass ᾤετο· εἰκότως· οὐ γὰρ ἂν ἄλλως ἐδέξατο, εἰ μὴ Ψυχάρις ἠπάτα αὐτόν, ἐν τῷ βιβλίῳ τὴν πλαστὴν καὶ ψευδῆ προφορὰν ταύτην ὡς τὴν τῶν νεωτέρων Ἑλλήνων παραστῆσαι.

Ὥσπερ πρὸς πάντας τοὺς ὁμοτέχνους οὕτω καὶ πρὸς Ψυχάριν φιλοφρονούμενος ἀπέστελλον ἐπὶ μακρὸν εἴτι γράψαιμι καὶ δὴ καὶ τὴν Ἀθηνᾶν. Ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντέπεμπεν, εἶτα δ' ἐπαύσατο, καίπερ ἐμοῦ ἀεὶ στέλλοντος. Πῶς δ' οἴει ἀμείψασθαί με ἔπειτα; Γράφων ἐν Ἑστίᾳ 1891 σελ. 177 κἑξ. πρῶτον μὲν διέστρεφε τοὐμὸν ὄνομα Χατζιδουλάκι ἀποκαλῶν με, εὐφυΐαν πάντως οὐ τὴν τυχοῦσαν οἰόμενος ἐπιδείκνυσθαι, μετὰ δὲ ταῦτα ἔφασκεν, ὡς βάτραχοί τινες (μερικοὶ βρεκεκεξιάριδες) ἀποστέλλοιεν αὐτῷ εἴ τι γελοῖον γράψειαν, ἵν' αὐτὸν ἐνοχλοῖεν κτλ. Ταῦτα δ' εἰς οὐδέν' ἄλλον δήπου ἢ εἰς ἐμὲ ἔλεγεν. Μανθάνεις ἀμοιβήν;

Καίτοι δ' ἀντιλέγων ἐν Berl. phil. Wech. ἐτόλμα ἀτόπως, ὡς ἐγὼ πείθω ἐμαυτόν, συμβουλεύειν μοι «Eine gemässigtere Sprache wäre sicherlich viel passender, abgesehen davon, dass eine

solche viel grössere Beweiskraft besitzt», αὐτὸς νῦν ἐν Études οὐκ ἐκράτησε γλώσσης, ἀλλὰ πᾶσαν ἐμοῦ κατηγόρησε κακίαν καὶ ταῦτα παντάπασιν ἀναιτίως καὶ ἀλογίστως, καθὰ πάντες οἱ ἐπαΐοντες ὁμολογοῦσιν, οὐδ' ἐπαισθάνεται ὡς τοιαύτῃ χρησάμενος ἀκολάστῳ γλώσσῃ, ἀπόδειξιν δ' οὐδεμίαν τῶν λόγων αὐτοῦ προενεγκὼν τὰς κατηγορίας ταύτας ἀπιθάνους κατέστησεν.

Καὶ γὰρ συχνῶς φησί με σοφίζεσθαι καὶ κακοτεχνεῖν καὶ ψεύδεσθαι (les faussetés coutumières Études ριγ') (εἴρηται τοῦτο κατὰ τὴν διαβεβοημένην Γαλλικὴν ἀστειότητα καὶ 'Αφροδίτην ἢ Ψυχάρις ἐξέστη παντάπασιν τοῦ φρονεῖν ὑπ' ὀργῆς;), οὐδὲν δ' οὐδαμοῦ τῶν ἐγκλημάτων τούτων παρέθετο οὐδ' εἶχεν, ὡς ἔοικε, παραθέσθαι παράδειγμα. Οὐδέποτε γὰρ ἔγωγε οὔτ' ἐκακοτέχνησα οὔτ' ἐμηχανησάμην οὔτ' ἐψευσάμην τι ἐν τῷ βίῳ, ἥκιστα δὲ πάντων ἐν τῇ ἐπιστήμῃ, ἡγούμενος ἡμῖν ἀγωνιστέον εἶναι οὐχ ὅπως τοῖς ἐν δικαστηρίῳ ῥήτορσιν ἔθος ἐστίν. Τούτοις μὲν γὰρ ὑπὲρ νίκης ἐφημέρου καὶ ἐπὶ κέρδει ὁ ἀγών ἐστιν, ἡμῖν δ' ὑπὲρ τοῦ εἰς ἀεὶ κατισχῦσαι τὴν ἀλήθειαν καὶ ἐπ' ὠφελείᾳ τῆς ἐπιστήμης. Διὰ ταῦτα καὶ ὄμνυμεν ὅτε διδάκτορες ἀναγορευόμεθα «πᾶν ποιήσειν προθύμως, ὅ τι ἂν μέλλῃ ἐς εὐσέβειαν οἴσειν καὶ κόσμον ἠθῶν καὶ σεμνότητα τρόπων, μηδὲ τῆς τῶν ἄλλων διδασκαλίας σὺν ἀβελτερίᾳ κατεπιχειρήσειν ποτὲ κενοτρόπως περπερευόμενοι, μηδ' ἐθελήσειν τἀναντία ὧν αὐτοὶ γιγνώσκομεν διδάσκειν, μηδὲ καπηλεύειν τὴν ἐπιστήμην...». Τοῦτον ἔγωγε τὸν ὅρκον ὤμοσά τε καὶ ἀεὶ ἐν νῷ ἔχω καὶ οὔτε Ψυχάρις οὔτ' ἄλλος οὐδεὶς ἂν δείξειεν ὡς ἐγώ ποτε παρέβην αὐτὸν ὁπωσδήποτε (1).

(1) 'Επεὶ G. Meyer ἐμέμψατό με ἐν Bezzenberger Beiträge τόμ. ΙΘ', σελ. 156-7 σημ. ὅτι παραλάβοιμι μέν τινα (ὀκτὼ) τῶν αὐτοῦ, οὐ μνημονεύσαιμι δ' ὁπόθεν ἔλαβον, φημὶ ὅτι τῶν ἐγκαλουμένων μοι τὰ μὲν ἐπ' ἀληθείας ἐμοὶ πρότερον ἢ τῷ Meyer εἴρητο· αὐτίκα τὸ ξε ἀντὶ ἐξ αὐτῷ μὲν ἐν Litter. Centralblatt 1881, σελ. 1763 μηνὶ Νοεμβρίῳ, ἐμοὶ δὲ πρότερον ἐν 'Αθηναίῳ τόμ. Ι', σελ. 105 μηνὶ 'Απριλίῳ τοῦ αὐτοῦ ἐνιαυτοῦ ἡρμήνευτο· ὡσαύτως οἱ ἀνθρώποι ἀντὶ οἱ ἄνθρωποι ἐκείνῳ μὲν ἐν τῷ αὐτῷ τόπῳ, ἐμοὶ δὲ πρότερον ἐν 'Αθηναίῳ σελ. 98· ἄλλο δὲ αὐτὸν πρὸ τοῦ ἀναγνῶναί με Meyer ἐξευρεῖν, λέγω τὸν μεταπλασμὸν ἡ μητέρα, ὁ βασιλέας, περὶ οὗ ἐν Bezz. Beitr. τόμῳ ἕκτῳ σελ. 334 διέλαβον, πολλῷ δὲ πρότερον τῷ φίλῳ Πέτρῳ Παπαγεωργίου ἐν 'Ιένῃ ἀνακοινωσάμενος εἶχον. 'Εν τοῖς ἄλλοις δ' ὤφειλον ὄντως, σύμφημι, μνημονεῦσαι τοῦ Meyer, καὶ νὴ Δία προθύμως ἂν ἐποίουν τοῦτο, εἰ μὴ ἀπολέσας, ὡς ἔοικεν, ὅσ' ἀναγιγνώσκων τὰ ἐκείνου ἐσημειούμην βραχέα ὑπομνήματα, ἐπελαθόμην. Πρόκειται γὰρ οὐ περὶ μεγάλων καὶ πολλοῦ ἀξίων γλωσσικῶν νόμων καὶ ἀξιωμάτων,

Ὡσαύτως αἰτιᾶταί με Ψυχάρις ἰσχυρογνωμοσύνης καὶ φιλονικίας καὶ ὡς ἐπὶ πᾶν σόφισμα ἕτοιμος μᾶλλον καταφυγεῖν ἢ ὁμολογῆσαι σφαλῆναι. Τοῦτο Ψυχάρις ἐξ ἑαυτοῦ κρίνων φησὶ περὶ ἐμοῦ. Γράφει γὰρ ἀεὶ *εἶτον*, *γῆς* κττ., καίτοι τἀληθὲς *ἦτον*, *γῆς* ἀποδέδεικταί μοι ἐν Einleitung σελ. 229 σημ. καὶ 278. Ἐγὼ δὲ ἀποβαλὼν ἣν πρότερον δὶς εἰπὼν εἶχον γνώμην περὶ τοῦ θέλω γράψει καὶ διαρρήδην ἐν Einleitung σελ. 141, 190 κηρύξας ὡς οἱ τἀναντία ἐμοὶ διδάξαντες Morosi καὶ Foy τἀληθῆ εἰρηκότες εἶεν, ἔδειξα, ὡς ἐγᾦμαι, πᾶσιν, ὅτι πάνυ προθύμως παρὰ πάντων ἀποδέχομαι τὴν ἀλήθειαν, ἣν μόνον ἀλήθεια ᾖ. Καὶ παρὰ Ψυχάρι ἄρα ἐδεχόμην ἂν εὐγνωμονῶν, εἴ τι ὑγιὲς αὐτῷ εἴρητο.

Ἓν ἔγκλημα δοκεῖ Ψυχάρις δικαίως ἐγκαλέσαι μοι, φημὶ τὸ ἐν σελ. ρις'., αἰτιᾶταί με γὰρ ἀντιφάσκειν ἀποβάλλοντα μὲν τὸ ἐκείνου δδάσκαλος ἀντὶ διδάσκαλος ὡς ἀδύνατον, γράφοντα δ' αὐτὸν ἔπειτα κκιὰ ἀντὶ κουκιά. Φησὶ γὰρ «κουκκιὰ y devient κκιὰ (le même homme disait ailleurs que δδάσκαλος était une prononciation impossible; c'était contre moi)». Ἀλλὰ κἂν τούτῳ ἔνεστιν εἰπεῖν τὸ τοῦ παλαιοῦ ὡς οὐχ ὅμοιος ὁ ψόφος. Φαίνεται μὲν γάρ, οὐκ ἔστι δ' ἀληθῶς ὅμοια ταῦτα. Καὶ γὰρ ἐν μὲν τῷ *κκιὰ* ἀποβληθέντος τοῦ

ἀλλὰ περὶ μικρῶν καὶ μερικῶν πραγμάτων, λέγω τὴν ἐσθὴν ἀπὸ ὀνομαστικῆς ἡ ἐσθής (ἡ πόλις τὴν πόλιν), δύνομαι, ἡ πόλι, τὰς τιμές, ἐσοῦ, ἃ ῥᾳδίως τὴν μνήμην διαφεύγει. Ὅτι δ' ἀληθῆ λέγω, μάρτυρα παρέξομαι αὐτὸν τὸν Meyer ἑρμηνεύοντα ἐν τῇ αὐτῇ σελίδι 157 τῶν Bezz. Beitr. τ. ΙΘ' τὸ ε ἐν τῷ *τόνε δώνω*, *άπε-έπε-ξε* καθ' ὃν ἐγὼ πολλῷ πρότερον διειλήφειν τρόπον ἐν Ἀθηναίῳ 104 καὶ ἐν Περιοδικῷ τοῦ Kuhn Λ' 375 καὶ ἐν Einleitung 71. Ὡσαύτως ὁ Meyer ἐν Türk. Studien σελ. 55 ἑρμηνεύει τὸ σκουλλί ἐκ τοῦ σκόλλυς, καίτοι πολλῷ πρότερον ἐμοὶ ἐν Kuhn Περιοδικῷ ΛΑ' 118 καὶ ἐν Einleitung 40 τοῦτο ἡρμήνευτο. Κατὰ τὸν αὐτὸν τρόπον ἐν τῇ πραγματείᾳ αὐτοῦ τῇ ἐπιγραφομένῃ Zur neugr. Grammatik, φησὶ τὸ προτασσόμενον ἐν πολλαῖς λέξεσιν ε ἐκ τῆς αὐξήσεως εἰλῆφθαι, τοῦτο δ' ἐμοὶ πρὸ τοῦ πρὸ τοῦ Meyer ἐν Περιοδικῷ Kuhn τόμ. Λ' 376, καὶ ἐν Einleitung 329 εἴρητο. Αὐτόθι ὁ Meyer διδάσκει τὸ ο τοῦ *ὀμυαλὸς* ἐκ τοῦ ἄρθρου παρειλῆφθαι, ὅπερ ἐγὼ ἐν Περιοδικῷ Kuhn Λ' 376 καὶ ἐν Einleitung 330 εἰρήκειν. Ἀλλ' ἐπὶ πᾶσι τούτοις ἔγωγε οὐ μὰ Δι' οὐκ αἰτιάσομαι κλοπῆς τὸν φίλον ἄνδρα· οὔτε γὰρ τῶν ἐμῶν πτερῶν αὐτὸν δεῖσθαι εἰς κόσμον φημί, παμπόλλων αὐτῷ καὶ καλλίστων ἰδίων ὄντων, οὔθ' ὑπολαμβάνω τοιοῦτον αὐτὸν πεφυκέναι ὥστε κλέψαι τἀμά. Ἀλλὰ μὴν οἶμαι ἂν αὐτόν τε τὸν Meyer καὶ πάντας τοὺς εὖ φρονοῦντας συμμαρτυρῆσαί μοι οὐδ' ἐμὲ δεῖσθαι τῶν πέντ' ἐκείνων ἑρμηνειῶν, ἵνα τὸ βιβλίον καταρτίσαιμι. Οὐκοῦν φῶμεν τὸν ἐπιεικῆ καὶ δίκαιον τῶν Γερμανῶν λόγον «Was dem einen recht ist, muss dem anderen billig sein», καὶ ἐάσωμεν αὐτὰ χαίρειν.

φθόγγου *ου*, ὥσπερ νόμος τοῖς βορείοις Ἕλλησιν, ἡ ἐν Einleitung σελ. 343 κέξ. εἴρηταί μοι, τὸ ἐν ἀρχῇ *κ* σώζει τε τὴν γνησίαν αὐτοῦ ὑπερωικὴν φύσιν καὶ πάντῃ διάφορον τοῦ ἑτέρου οὐρανικοῦ *κ* προφέρεται ἤτοι *qκιά* Ἐν δὲ τῷ *δάσκαλος*, τῷ κοινῷ πᾶσι τοῖς Ἕλλησιν, εἰ τὸ *ι* μόνον ἐξέπιπτεν, καθάπερ Ψυχάρις οἴεται, τὰ δύο *δδ* ἀδύνατα ἀπαγγέλλεσθαι ἂν εἴη· ἁπλῆ γὰρ ἡ προφορὰ τοῦ *δ* καὶ πρὸ παντὸς φωνήεντος ἡ αὐτὴ ἀεὶ διαμένει, οὐχ ὥσπερ ἡ τοῦ *κ*. Ἀλλὰ μὴν ὅπως τὸ δάσκαλος καὶ τὸ συδάζω καὶ ἄλλα πολλὰ τὴν ἑτέραν τῶν ὁμοίων συλλαβῶν ἀπώλεσε, δέδεικταί μοι ἐν περιοδικῷ τοῦ Kuhn Τόμῳ ΛΒ΄. σελ. 118 κέξ. (Ἐν διδακτορικῇ ἐναισίμῳ διατριβῇ Γ. Σακάρη διαλαμβανούσῃ περὶ τῆς διαλέκτου τῶν Κυδωνιέων ἀνέγνων ἐπ' ἐσχάτων τὸ *κκὶ* καὶ *κκιὰ* ὡς ἰδιάζον ταῖς Ἑκατοννήσοις, καὶ *κτσὶ κτσὰ* ὡς ἰδιάζον ταῖς Κυδωνίαις).

Ἐν σελ. 248 κέξ. ἐρωτᾷ μ' ἐρωτήματά τινα καὶ μονομάχου δίκην προκαλεῖταί με ἀποκρίνασθαι εἰς ταῦτα τῷ ναὶ ἢ τῷ οὔ. Τούτων δύο τὰ μέγιστα, τὸ πρῶτόν φημι, ὃ τηλαυγὲς πρόσωπον προὔταξε τῶν ἄλλων, καὶ τὸ ἔσχατον, καὶ γὰρ κατὰ τὸν Ὁμήρου τρόπον κακοὺς ἐν μέσσῳ ἔλασσεν, καταμαθὼν ὁποῖα τὴν φύσιν ἐστί, ῥᾷστα καὶ περὶ τῶν λοιπῶν εἴσῃ ὅτι δύναται. Βουλόμενος ὁ Ψυχάρις ἐξηγήσασθαι τὸ ἐν Ἐρωφίλῃ *κερᾶ μας* ἀντὶ κερᾶς μας καὶ *ἐχθρού μας* ἀντὶ ἐχθρούς μας εἰρήκει Essais Β΄. 53-4 «la disparition du ς *par assimilation* avec μ n'a rien d'anormal». τούτῳ ἀντεῖπον ἐγὼ φάσκων οὐκ *ἀφομοιώσει* (assimilation) ἀλλ' *ἀνομοιώσει* (dissimilation) τὸ σ ἐκπεπτωκέναι (Einleitung 275). Φαμὲν γάρ, ἔλεγον ἔγωγε, ἐν Κρήτῃ ἀεὶ τῆς κερᾶς μου, ἀλλὰ τῆς κερᾶ μας, ὁ βοσκός μου ἀλλ' ὁ βοσκό μας, τοὶς δουλειές μου ἀλλὰ τοὶς δουλειέ μας, τοὶς γυναῖκές μου ἀλλὰ τοὶς γυναῖκέ μας, ὁ ἀγγελός μου ἀλλ' ὁ ἄγγελό μας, δός μου ἀλλὰ δό μας (καθ' ὃ εἶτα καὶ δό μου) κττ. Ὁ δὲ οὐδὲν τῶν ἐκεῖ λεχθέντων, ὡς ἔοικεν, συνεὶς προκαλεῖταί με νῦν αὖθις διαρρήδην ἀποφήνασθαι, εἰ ἐν τῷ τοὺς ἐχθρού μας κεῖται ἀφομοίωσις ἢ οὔ. Φημὶ τοίνυν οὔ. Δέδεικται γάρ μοι ἔν τε τῷ Περιοδικῷ τοῦ Kuhn τόμῳ ΛΒ΄. σελ. 120 καὶ ἐν Einleitung σελ. 275 καὶ 352 σημ. οὐκ ἀφομοίωσιν ἀλλ' ἀνομοίωσιν τὸ πάθος εἶναι. Τοιοῦτο τὸ πρῶτον ἐρώτημα! Νῦν ἴωμεν ἐπὶ τὸ τελευταῖον. Περὶ τῶν οὐδετέρων ὑποκοριστικῶν εἰς -ιον -ι(ν) καὶ τῶν ἀρσενικῶν εἰς -ιος -ις γέγραπται Ψυχάρι ἐν Essai de pho-

nétique σελ. 32 τάδε; les diminutifs neutres en ιον n'ont pas perdu leur dernière syllabe ον entièrement et d'un seul bloc pour se réduire à la désinence ι, comme φεγγάριον=φεγγάρι; ν *est tombé d'abord, puis* ο, dans les combinaisons comme φεγγάριον φέγγει, φεγγάριο φέγγει et naturellement φεγγάριο ὡραῖο, φεγγάρι' ὡραῖο, φεγγάρι φέγγει. Le ν qui se fait sentir dans certains textes, comme φεγγάριν, est postérieur et non antérieur à φεγγάρι; c'est φεγγάρι qui devient φεγγάριν et non φεγγάριον qui se réduit à φεγγάριν . . » Καὶ ἐν ὑποσημειώσει φησὶ « Le masc. en ιος, ις (=ης) sont dus à l'analogie de noms en ης, προφήτης». Ταῦτα παντάπασιν ἀπόβλητα καὶ παρὰ τὴν ἱστορίαν ὄντα ἐξήλεγξα ἐν Einleitung 314-8, ἐπειράθην δ' ἐξηγήσασθαι τὸ πάθος, εἰπὼν ὡς Ἰταλικὸν τὸ ἔθος τὸ κατ' ἀρχὰς ὂν εἰσήλασεν εἰς τὴν ἡμετέραν γλῶσσαν ἐπὶ τῶν Ῥωμαίων αὐτοκρατόρων, καθάπερ πάμπολλα παραδείγματα ὀνομάτων εἰς -ιν καὶ -ις (τοῦ τελικοῦ ν ἔτι καὶ τοῦ ς ἀεὶ σαφῶς ἀπαγγελλομένου) τῶν χρόνων ἐκείνων περιφανῶς μαρτυρεῖ οἷς ἐπιμελὲς ταῦτ' εἰδέναι. Ὁ δὲ Ψυχάρις ἠγνόει μὲν δὴ ταῦτα τότε, ἅτε μόνοις τοῖς τοῦ Προδρόμου καὶ τοῖς τῶν μετ' αὐτὸν ἔργοις ἀεὶ σχολάζων, τῶν δὲ προγενεστέρων, ὡς αὐτὸς ὡμολόγει, ἀμελῶν, διδαχθεὶς δὲ τἀληθὲς ὑπ' ἐμοῦ οὔτ' εὐγνωμονεῖ οὐθ' ἡσυχίαν ἄγει, ἀλλὰ πολλὴν ἀφίησι κραυγὴν καὶ μέγαν ποιεῖ θόρυβον διατεινόμενος (Études 226) οὐδὲν εἶναι πρὸς τὸ πρᾶγμα, εἰ ταῦτα ἀπὸ τῆς Κοινῆς γιγνώσκεται, οὐδὲ τὴν ἑρμηνείαν αὐτοῦ τῷ λόγῳ τούτῳ ἀναιρεῖσθαι, ἅτε τῶν διπλῶν ἐν συντάξει (doublets syntactiques) ἀείποτε δρώντων, ἐμοῦ δ' ἀπείρου τούτων ἐλεγχομένου, καὶ τὴν γενικὴν τοῦ Μάρι ἣν ἐκ τοῦ Πασχαλίου Χρονικοῦ παρεθέμην οὐ τῶν Ῥωμαϊκῶν αὐτοκρατορικῶν χρόνων οὐδὲ τὸ παράπαν Λατινικὴν εἶναι. Μανθάνεις ἀποδείξεις καὶ ἐπιχειρήματα; Ἀλλ' ὦ 'τᾶν, περὶ μὲν τῶν διπλῶν ἐν συντάξει τάχ' ἂν εἰδείην κἀγὼ σμικρόν τι· ἀλλ' ἐπεὶ δῆλον ὅτι τὸ ο πολλαῖς ἑκατονταετηρίσι πρότερον τοῦ ν ἀφῄρητο, ἀδύνατον δῆτα τὴν ἑρμηνείαν τοῦ Ψυχάρι ἀποδοχῆς τινος καὶ πίστεως τυχεῖν· πῶς γὰρ ἂν τὰ διπλᾶ ἐν συντάξει ἐφαρμογῆς ἂν τύχοι καὶ τὸ ο ἐκπέσοι τοῦ μετ' αὐτὸ ν ἔτι ἀλωβήτου μένοντος; Ἔπειτα, οἶμαι, προὔκειτο ἡμῖν δεῖξαι ὅπως τὰ εἰς -ιος, -ιον, Ἰταλικῷ ἔθει, κατ' ἐμὴν γνώμην, τὸ ο ἀποβάλοι καὶ εἰς -ις, -ιν λήξειεν, οὐχὶ δ' ὁπότε ἡ γενικὴ τῶν εἰς -ις ἐξομοιωθείη ταῖς λοιπαῖς

πτώσεσι καὶ δὴ εἰς -ι γένοιτο. Τῇ ἐμῇ γνώμῃ ταύτῃ Ψυχάρις ἀντειπεῖν οὐχ οἷός τ' ἦν καὶ ὡς ἔοικεν ἠσπάσατο. Πρὸς δὲ ἀποδέδεικταί μοι περιφανῶς ἐν Einleitung 76 κέξ. ὅτι αὐτὴ δὴ αὕτη ἡ γενικὴ τοῦ ἑνικοῦ ἀριθμοῦ τῆς α'. κλίσεως πολλῷ πρότερον τοῦ Πασχαλίου Χρονικοῦ ἤρξατο ἀφομοιοῦσθαι ταῖς ἄλλαις πτώσεσιν. Δῆλον ἄρα ὅτι ὥσπερ τὰ παλαιότερα τοῦ Ἰωάννη, τοῦ οἰκέτη, τοῦ ἀπηλιώτη, τοῦ Μακέλλη, τοῦ Διοσκουρίδη, τοῦ Ἀχιλλείδη κττ. κατὰ τὸν αὐτὸν τρόπον ἠδύνατο καὶ ἡ γενικὴ τοῦ Μάρι, ἡ ἐν Πασχαλίῳ Χρονικῷ, λεχθῆναι. Εἰ δὲ Ψυχάρις ἓν μόνον παράδειγμα γενικῆς εἰς -η, τὸ ἐν τῇ Γραμματικῇ G. Meyer, *τοῦ πρεσβευτῆ*, οἶδεν (Études ιδ' καὶ 231) καὶ διὰ τοῦτο τὸν ἀρχαῖον τύπον αὐτῆς εἰς *-ου* μέχρι τοῦ δωδεκάτου αἰῶνος κρατεῖν οἴεται, φάσκων (Études 231) πρὸ τοῦ Προδρόμου οὐδεμίαν γενικὴν εἰς -η λῆξαι, ὥστε καὶ τὸ γελοιότατον *τοῦ τσαγγάρου* τῷ Προδρόμῳ κατὰ τὴν συνήθειαν τῶν τότε Ἑλλήνων εἰρῆσθαι, ἐγὼ μὰ τὸν Ἀπόλλω οὐ τούτου αἴτιος, ἀλλὰ Ψυχάρις ὅς μόνοις τοῖς ἀπὸ τῆς δωδεκάτης ἑκατονταετηρίδος κέξ. συντεταγμένοις τὸν νοῦν προσέχει, τοῖς παλαιοτέροις δ' οὔ.

Ὁρᾷς οἷα τὰ δεινὰ καὶ μορμορωπὰ ἐρωτήματα ἃ Ψυχάρις πολλῇ σὺν κραυγῇ προὔβαλε καὶ ῥητῶς ἀποκρίνασθαι τῷ ναὶ ἢ οὒ ἐκέλευσεν;

Ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι βασανίσαι τὸ βιβλίον τῶν Études διὰ τέλους καὶ ἐλέγξαι αὐτὸν οὐ μόνον ἀπαξάπαντα τὰ δεινὰ ἐκεῖνα ἀδίκως καὶ ἀλόγως κατειπόντα μου, ἀλλὰ καὶ τὰ περὶ τὴν ἐπιστήμην, δεινῶς παραπαίοντα καὶ ἑλληνικῆς ἐπιστήμης ἄμοιρον ὄντα. Νῦν δ' ἀδύνατον τοῦτο ἔμοιγε· οὕτω γὰρ ἀνάπλεων ὕβρεως καὶ ἀδικίας ἐστὶ τὸ βιβλίον, ὥστε οὐχ οἷόν τ' ἐστί μοι μετ' εὐπρεπείας ἀναλαβεῖν τὸν ἔλεγχον· ἡγοῦμαι δ' οὐδ' ἀνάγκην εἶναι τούτου, ἄλλως τε καὶ κατ' ἀξίαν ἤδη κριθέντος καὶ κατακριθέντος ὑπ' ἀνδρὸς ἐλλογιμωτάτου, Κάρολον Buresch λέγω, καὶ πάντων ῥᾳδίως αἰσθανομένων καὶ μιᾷ φωνῇ ὁμολογησάντων καὶ ἐπιτιμησάντων τἀνθρώπου τῇ μανίᾳ. Τίς γὰρ ἂν πιστεύσειεν αὐτῷ φάσκοντι ὡς τὰ μὲν πρῶτόν μοι συντεταγμένα δοκίμια ἐν Ἀθηναίῳ ἄριστα γέγονε, τὰ δ' ἀπὸ τούτου παντάπασιν ἡμάρτηται καὶ τὴν ἐπιστήμην βλάπτει (Études ριβ');

Ὅτι δὲ τὸ δεινὸν τοῦτ' ἔγκλημα οὐκ ἀληθές, θυμῷ δὲ καὶ μανίᾳ εἴρηται, ἔχω μὲν πολλὰς πολλῶν ἀρίστων καὶ δικαίων κριτῶν μαρτυρίας παρασχέσθαι, αἱροῦμαι δ' ὅμως αὐτοῦ τοῦ κατηγόρου τὴν ὁμο-

λογίαν ἀναγράψαι, ὅς ἐν σελ. ιζ' κἑξ. παραλαμβάνει (οὐ μνημονεύσας ἐμοῦ) ὅσα εἴρηταί μοι ἐν Πεντηκονταετηρίδος τοῦ Ἐθνικοῦ Πανεπιστημίου σελ. 121 κἑξ. περὶ τῆς ἀναπτύξεως καὶ ἐπιδόσεως τῆς Ἀττικῆς διαλέκτου. Καὶ μὴν ταῦτα πολλοῖς ἔτεσιν ὕστερον τῶν ἐν τῷ Ἀθηναίῳ γέγραπταί μοι παντελῶς ἤδη κατὰ Ψυχάριν διεφθαρμένῳ.

Ὁμοίως δῆλον πᾶσι κατέστησα ἐν Einleitung σελ. 236 κἑξ. ὡς οὗτος ἅτε περὶ μόνα τὰ γράμματα τὰ ἀπὸ τοῦ 12 αἰῶνος καὶ ἑξῆς ἀσχολούμενος καὶ δὴ τὰ παλαιότερ' ἀγνοῶν δεινῶς σφάλλοιτο λέγων διαφεύγειν ἡμᾶς ὅπως ἡ γλῶσσα ἐπὶ δέκα αἰῶνας ἀναπτύσσοιτο· Essais I σελ. 166 Que s'est-il donc passé dans cet intervalle de temps qui sépare les premiers siècles de notre ère du X[e] siècle? *Il y a là un travail de formation qui nous échappe.* Καὶ σελ. 168 Jusqu'au X[e] siècle, en effet, il y a un travail de préparation qui nous échappe. Nous avons, en d'autres termes, deux points de comparaison: d'une part la langue du nouveau Testament, de l'autre celle de Spanéas. Les degrès intermédiaires par lesquels on est arrivé de l'une de ces langues à l'autre *ne sont pas sensibles pour nous.* καὶ Essais II 216 à l'époque qu'on peut appeler *l'époque préhistorique* du néo-grec, c'est à dire avant le X[e] siècle». Νῦν ἐπανέρχεται ἐπὶ τοῦτο σελ. ι' διατεινόμενος τὴν νέαν φάσιν τῆς γλώσσης ἐν τοῖς συγγραφεῦσι τοῖς πρὸ τοῦ δεκάτου αἰῶνος σήμερον *εἶναι ἡμῖν αἰσθητήν*, ἐπεὶ τὰ ἐκεῖ μικρὰ φαινόμενα ἔπειτα ηὔξηται. L'état nouveau, φησί, qui s'y manifeste n'est sensible que pour nous, au moment où nous vivons, c'est-à-dire lorsque nous avons pu constater les conséquences dernières de cet état, où apparaissent tout abord, sur le fond ancien et traditionnel, des modifications encore légères et sans portée».

Ὁρᾷς ὡς μετεδιδάχθη, εἰ καὶ πάσῃ μηχανῇ ἀρνεῖσθαι τοῦτο πειρᾶται; Νῦν τοίνυν ὁμολογεῖ μοι αἰσθητὴν εἶναι ἡμῖν τῆς γλώσσης τὴν ἀνάπτυξιν κατὰ τὴν πρώτην μετὰ Χριστὸν χιλιετηρίδα. Καὶ μανθάνεις ὡς ἐγκατέλιπε *τὴν προϊστορικὴν περίοδον* τῆς νεωτέρας Ἑλληνικῆς; Ἀλλὰ μὴν καὶ ταῦτα ἐδίδαξα ἤδη, ὡς Ψυχάρις φησίν, ἔρδην διεφθαρμένος. Τίς δ' οὐκ ἂν ὁμολογήσειέ μοι Ψυχάριν ἀδικεῖν

οὐ μόνον ἐμὲ ἀλλὰ καὶ τὴν ἐπιστήμην τοιαῦτα περὶ Κοραῆ, οἷα ἐν Ἀθηνᾶς Τ. Α΄. σελ. 517 ἐξελήλεγκται, καὶ περὶ ἐμοῦ διδάσκοντα καὶ τοὺς συνόντας οὕτω διαφθείροντα; ἢ οὐ δοκεῖ σοι κάλλιστα καὶ πρεπωδέστατα νέοις εἶναι ἃ μαθητῇ τῳ τοῦ Ψυχάρι περὶ ἐμοῦ γέγραπται (Études 64-5) «il faut une singulière légèreté d'esprit pour découvrir des échantillons d'une haute antiquité dans des dialectes, dont l'économie grammaticale ne nous est seulement pas connue...»; Οὐδ' οἶδ' ἔγωγε πότερον μᾶλλον θαυμάσω τὸ ἦθος ἢ τὴν ἐπιστήμην τοῦ νεανίσκου.

Οὐ μὴν ἀλλ' ὑπὸ δεινῆς φιλοψόγου μανίας κατεχόμενος καὶ πλαστογραφῆσαι τὰ ἐν Etudes πονήματα τῶν ὁμοτέχνων ἐπὶ τῇ ἐμῇ συκοφαντίᾳ καὶ βλάβῃ οἷός τ' ἐγένετο. Οὐδὲν γὰρ ἄλλο ἢ τοῦτο κατήγγελται ἐν Litterarisches Centralblatt 1893 σελ. 956 «Die Arbeit Schmitt's ist, wie Ref. vom Verf. aufgefordert worden ist auszusprechen, wider Willen und ohne Wiesen des Verf.'s derart umgewandelt worden, dass er sie nicht mehr als sein eigen anerkennt. . . . Gegen die mit einem J. P. versehenen Anmerkungen gegen Hatzidakis s. 325 und 331 verwahrt der Verf. sich ausdrücklich». Καὶ αὐτὸς δ' ὁ πρώην μαθητὴς τοῦ Ψυχάρι Wilhelm Meyer Lübke ἐν Περιοδικῷ Krumbacher Β΄. 617 φησὶν οὕτω διασκευάσαι Ψυχάριν τὰ τῶν μαθητῶν, ὥστε οὐκέτι δῆλον ὅπου τὰ τῶν μαθητῶν ἀντικατέστησε τὰ τοῦ διδασκάλου. Ὅτι δὲ οἷός ἐστι καὶ τὰ τῆς ἱστορίας παραχαράττειν καὶ πλαστὰ καὶ ψευδῆ ὡς ἀληθῆ προφέρεσθαι, ἐξελήλεγκταί μοι μαρτυρίοις ἀναντιλέκτοις ἐν τῷ Περιοδικῷ τοῦ Kuhn Τ. ΛΒ΄. σελ. 115.

Ὡσαύτως εἴρηταί μοι ἐν Ἀθηνᾶς Τόμ. Β΄, σελ. 191 σημ. καὶ 221 καὶ Τόμ. Γ΄. σελ. 265 σημ. ὡς Ψυχάρις οὐκ ἀληθῆ ἔλεγε διατεινόμενος, ὅτι τὸ ἔθνος τῶν Ἑλλήνων βαρέως τὸν ζυγὸν τῆς γραφομένης φέροι καὶ πλεῖστοι οἶκοι, μάλιστα γυναῖκες, καταβοῶεν αὐτῆς, καὶ ὅτι οὐδεὶς οὐδέποτε τῶν Πυργίων γράμματα μάθοι οὐδ' εἰς σχολὴν φοιτήσειεν· καίτοι καὶ αἱ γυναῖκες παρ' ἡμῖν μόνῃ τῇ καθαρευούσῃ λεγομένῃ γλώσσῃ ἐν ταῖς ἐφημερίσιν αὐτῶν χρῶνται καὶ οἱ Πύργιοι Σχολὴν ἐν μέσῃ τῇ κωμοπόλει αὐτῶν ᾠκοδομήσαντο, καὶ οὐκ ὀλίγοι παῖδες τούτων εἰς ταύτην φοιτῶσιν, καὶ ἐν Ἀθήναις καὶ ἐν Παρισίοις ἐπιστήμας σπουδάζουσιν. Οὕτως ὀλίγον αὐτῷ ἀεὶ τῆς ἀληθείας μεμέληκεν!

Οὐ μὴν ἀλλὰ καὶ πολλῷ ἔτι δεινότερον ἔγκλημα αὐτοῦ ἐπυθόμεθα ἔγωγε καὶ Karl Brugmann καὶ Karl Buresch παρὰ John Schmitt, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, ὅτι τὸ ἐν Études σελ. πδ'. κέξ. φερόμενον δεῖγμα γλωσσαρίου τουρκικῶν ἐκ τῆς ἑλληνικῆς εἰλημμένων λέξεων οὐ τοῦ Ψυχάρι ἔργον ἐστίν, εἰ καὶ ὑπὸ τὸ ὄνομα τούτου φέρεται, ἀλλὰ νέου τινὸς ἐκ Κωνσταντινουπόλεως σπουδάζοντος ἐν Παρισίοις καὶ παντάπασιν ἀπόρου Καλλιβούλη τοὔνομα· ὅτι δὲ Ψυχάρις ἄπειρος μέν ἐστι τῆς γλώσσης ταύτης, ἐπρίατο δὲ παρὰ τούτου ἀντὶ ἀργυρίου τινός, ὡς φαίνεται, τὸ πόνημα καὶ ὡς ἴδιον ἐξέδωκεν, οὐδὲ μνείας ἀξιώσας τὸν συγγραφέα. Ταῦτ' ἔφασκε πρὸς ἡμᾶς ὁ ἀνὴρ ἐκεῖνος καὶ τούτοις δοκεῖ μοι κάλλιστα συνᾴδειν ὃ ἐν σελ. 57 ἀναγινώσκεται· «σελάχι = θυλάκιον»· πῶς γὰρ ἔμελλε Ψυχάρις, εἰ τῆς Τουρκικῆς ἀληθῶς ἔμπειρος ἦν, ἀγνοεῖν ὅτι τὸ *σελάχι* ταυτὸν τῷ Τουρκικῷ *silah* ἐστίν;

Νῦν, οἶμαι, ῥᾴδιόν σοι συνεῖναι, τίνων ἕνεκα λόγων ὁ ἄνθρωπος μάλα ἐπιρρεπής ἐστιν πάντα κατηγορεῖν καὶ ἀποβάλλειν ἄνευ λόγου μαρτυρίαν ἐντίμου ἀνδρός· κρίνει γάρ, ὡς ἔοικεν, τἀλλότρια ἐκ τῶν ἰδίων.

Καὶ μὴν καὶ τόδε κακοτεχνεῖ Ψυχάρις φεύγων τὸν ἀγῶνα καὶ ἀποκαλῶν φλυαρίαν (verbiage σελ. 246) τὴν μακρὰν ἐμοῦ ἐν Einleitung σελ. 234 κέξ. ἀπόδειξιν, ᾗ ἀναμφήριστον γέγονε, τὸν λόγον τῶν μεσαιωνικῶν βιβλίων σφόδρα σύμμικτον ἀρχαίοις καὶ νεωτέροις εἶναι. Καὶ μὴν εἴπερ ἄλλῳ τῳ, τούτῳ αὐτὸν ἐχρῆν ἐπιμεῖναι καὶ τἀληθὲς τῆς ἑαυτοῦ δόξης πειρᾶσθαι διασῴζειν. Ἔστι γὰρ τὸ κεφάλαιον τῆς ἐν ἡμῖν διαφορᾶς τοῦτο, εἰ τὰ βιβλία ταῦτα καθαρόν, ὡς οὗτος οἴεται, παρέχει λόγον, ἢ σύμμικτον, καθάπερ ἐγὼ διὰ πολλῶν ἀποδεῖξαί φημι.

Ἀλλὰ μὴν ὅτι Ψυχάρις καίπερ τὰ ἐμὰ οὕτω διασύρων καὶ φλυαρίας ἀποκαλῶν, μεταπέπεισταί μοι κἀνταῦθα, ὥσπερ καὶ ἐν ἄλλοις πολλοῖς, καὶ νῦν ἐμοὶ ἕπεται καὶ δοξάζει ἀλλοῖα ἢ πρότερον, δῆλόν ἐστιν ἐξ ὧν ἐν σελ. ιε'-ις' γράφει, ἐν τοῖς βιβλίοις τοῖς πρὸ τῆς δεκάτης ἑκατονταετηρίδος συντεταγμένοις οὐκ ἀπαντᾶν ἀρχαιότροπα, ἃ μακαρονικὰ καλεῖν εἰώθαμεν. Ἐν τοῖς μετὰ ταῦτ' ἄρα συγγεγραμμένοις ἀναγινώσκεται ἀρχαιότροπα, καὶ τοῦτό μοι ὁμολογῆσαι ἠνάγκασται Ψυχάρις, εἰ καὶ πρότερον πρόθυμος ἦν ὀμόσαι τἀναντία. Οὐκοῦν ἐλπίς ἐστιν, ἤν ποτ' ἄμεινον καὶ τὰ παλαιότερα τοῦ δεκάτου αἰῶνος γράμματα μελετήσῃ, ἢ καὶ ἢν μόνον οἷς ἐμοὶ ἐν Einleitung

σελ. 260 κἑξ. γέγραπται τὴν διάνοιαν ἐπιστήσῃ, πείσεσθαί μοι καὶ ταῦτα ὁμοίως ἔχειν.

Οὐ μὴν ἀλλὰ καὶ τοῦτο πεπεῖσθαί μοι ἤδη δοκεῖ, καίτοι ἐπιμόνως ἀρνεῖται· φησὶ γὰρ πολλαχοῦ τοῦ Β'. τόμου τῶν Essais τἀρχαιοπινῆ ἤτοι 'Αττικὰ ὅσα ἐν τοῖς μεσαιωνικοῖς ἡμῶν βιβλίοις μέχρι τοῦ ἑπτακαιδεκάτου αἰῶνος εὕρηται (εὕρηται δέ, ὡς φαίνεται), ἐπὶ τῆς λογίας παραδόσεως στηρίζεσθαι. Καὶ ἐν σελ. κδ'. τῶν Études φησὶ «les quelques formes attiques qui s'y rencontrent reposent, comme je l'ai dit ailleurs, sur une *tradition littéraire*».'Αλλὰ τοῦτο δῆλον ὅτι οὐδὲν ἄλλο ἐστὶν ἢ ὅπερ ἐγὼ μὲν ἀπὸ πολλοῦ οὐ παύομαι λέγων, ταῦτα τῇ γραφομένῃ γλώσσῃ μόνῃ γιγνώσκεσθαι, τοῦ δὲ προφορικοῦ τῶν πολλῶν λόγου παντάπασιν ἀλλότρια εἶναι, Ψυχάρις δ' οὐκ ἐπείθετό μοι. 'Αλλὰ νῦν δὴ μεταγνοὺς καὶ ὁμολογῶν μοι ταῦτα, πῶς ἔπειτα τολμᾷ σιλλαίνειν καὶ φλυαρίαν καλεῖν τὴν ἐμὴν ἀπόδειξιν;

Σκέψαι δέ, ὦ βέλτιστε, καὶ ὡς θαυμασίως ταῦτα πρέπει ἀνθρώπῳ ἀεὶ διατεινομένῳ καὶ ἀνὰ στόμα ἔχοντι ὡς αὐτὸς μὲν τῇ ἀρίστῃ ἱστορικῇ μεθόδῳ χρῆται καὶ οὐδενὸς ὅσον ἱστορίας τῆς γλώσσης αὐτῷ ἀεὶ μέλει, ἐγὼ δ' ἀπαύστως ἁμαρτάνω καὶ παραπαίω περὶ ταύτην καὶ χρονολογίας οὐδέν ποτε μεμέληκέ μοι (Études 241)!

Τίς δ' οὐκ ἂν φαίη Ψυχάριν μεγάλα τὴν ἐπιστήμην κολούειν διαβάλλοντα τοὐμὸν μὲν βιβλίον ἐν σελ. ρις' ὡς ἀπαραίτητον τοῖς βουλομένοις ἀπατᾶσθαι ὄν, τοὺς ἐμοὺς δὲ λόγους ἐν σελ. ρις' καὶ 218 σημ. ὡς πάντας, οὓς βασανίσαι οἷός τ' ἐγένετο, ψευδεῖς ἐξελεγχθέντας; Καὶ μὴν ἁπαξάπαντες οἱ περὶ τοῦ ἐμοῦ βιβλίου γνώμην εἰς τὸ κοινὸν ἀποφηνάμενοι ἔν τε τῇ 'Εσπερίᾳ καὶ τῇ 'Αμερικῇ μεγάλα ἐπῄνεσαν αὐτό, οὐδὲν δὲ οὐδαμοῦ κατεψευσμένον οὗτος κατέδειξεν. Εἰ τοῦτο μὴ διαβολὴ καὶ συκοφαντία λέγεται, ἀπορῶ ἔγωγε ὅ,τι ποτὲ τοῖς ὀνόμασι τούτοις ὀνομάσωμεν.

Αἰτιώμενος δέ με φιλόνικον καὶ δύσεριν εἶναι καὶ τοῖς ὁμοτέχνοις ἀεὶ φιλοῦντα μάχεσθαι ἐλπίζει πείσειν, ὡς ἐγὼ μὲν ἄγριος καὶ ἄντικρυς ὠμοφάγος τις πέφυκα καὶ αὐτὸν καθάπερ πάντας ἀδικῶ, αὐτὸς δὲ καλὸς κἀγαθός ἐστι καὶ πολλὰ πάσχει διὰ τοὺς ἐμοὺς τρόπους. Τὸ δ' ἔστιν οὐχ οὕτως ἔχον. Οἶσθα γὰρ δήπου ὅτι τὰ τῆς νεωτέρας 'Ελληνικῆς εἰκῇ καὶ οὐδενὶ ξὺν νῷ ἐπὶ μακρὸν ἐξητάζετο καὶ πολλοῖς πάμ-

πολλα περὶ ταύτης σφαλερὰ ἐδεδίδακτο. Τὰς πλάνας τοίνυν ταύτας διαλύσαι πειρώμενον ἔδει με τοῖς τούτων διδασκάλοις ἀντειπεῖν καὶ ταῦτα τοσούτῳ μᾶλλον ὅσῳ βαθύτερον ἐρριζωμέναι ἐφαίνοντο. Οὐ μὴν ἀλλὰ πάντες, οἷς ἐγὼ κατὰ τὸν ἀγῶνα ἐκεῖνον ἀντεῖπον, συνειδότες ὅτι δίκαια καὶ ἀληθῆ λέγοιμι καὶ ὅτι κατὰ Σοφοκλέα τὰ ἔργα μου ἐκεῖνα πεπονθότα μᾶλλον ἦν ἢ δεδρακότα, ἤτοι ὡς οὐ κακίᾳ τινὶ ἐμφύτῳ ἀλλ' ἁπλῶς τῷ τῆς ἀληθείας ζήλῳ ἀγωνιζοίμην, ἐπαύσαντό τε τάχιστα τοῦ ἀγῶνος καὶ διηλλάγησάν μοι. Μόνος οὗτος αἰσθάνεται μὲν ὡς ἀληθῆ λέγω καὶ ἀεὶ ἀναγκάζεται ἀποδέχεσθαι καὶ ἄκων κατακολουθεῖν οἷς διδάσκω, ὥσπερ πολλάκις εἶδες, πειρᾶται δ' ὅμως πάσῃ τέχνῃ καὶ μηχανῇ οὐ μόνον ἔξαρνος τοῦτο γίγνεσθαι, ἀλλὰ καὶ ἐγκαλεῖν μοι μυρία, οἷον κλέπτειν, ψεύδεσθαι, σοφίζεσθαι, κακοτεχνεῖν κττ., περὶ ὧν οὐδεὶς ἂν ἐπιστάμενος τὰ ἐμὰ ἐπιτηδεύματα ὁμολογήσειε Ψυχάρι. Ἴσασι δέ με πολλοί, ὅτι ὀλίγοι ἡμεῖς ὄντες καὶ ἐν σμικρῷ ζῶντες οὐκ ἂν λάθοιμεν ἀλλήλους οἷοί ἐσμεν, οὐδ' ἐγὼ ἄρ' ἂν διέλαθον ἐν τοσούτοις ἔτεσι πονηρὸς ὤν, ὡς Ψυχάρις ἐκ Παρισίων οἴεται.

Τοιοῦτος τοίνυν ἐστὶν καὶ τοιοῦτος ἐγένετο περί τε τὴν ἐπιστήμην καὶ περὶ ἐμὲ ὁ ἄνθρωπος, ὃν παρ' ἡμῖν μὲν πάντες οἱ εὖ φρονοῦντες καὶ παιδείας μετέχοντες δεινὴν νόσον πάσχειν φασίν, ὑμεῖς δ' ἰδιωτικῶς καὶ ἀπείρως, ὡς ἔοικε, τῆς Ἑλλάδος φωνῆς ἔχοντες, προὐστήσατε διδάσκαλον τῆς νεωτέρας ἡμῶν γλώσσης ἐπὶ κακῷ αὐτοῦ τε τοῦ μαθήματος καὶ ὑμῶν αὐτῶν. Ἐντεῦθεν δὲ πειρᾶται ἡμᾶς μὲν τῷ παρ' ὑμῖν ἀξιώματι, ὑμᾶς δ' αὖ τῷ παρ' ἡμῖν ἀπειροτέρων τινῶν φίλων θορύβῳ καταπλήττειν καὶ πείθειν ὥστε θαυμάζειν μὲν αὐτὸν ἀπαξάπαντας, ἀγαγεῖν δ' ὑμᾶς ἐπὶ μείζω πράγματα (1). Ἐπειδὴ δ' ἐγὼ οὔτε συνθαυμάσαι οὔτε συνεπαινέσαι εἶχον, προκληθεὶς δ' οὕτως καὶ ἀδικηθεὶς ἀντεῖπον καὶ τὴν λεοντῆν ἀκριβεῖ ἐλέγχῳ ἀφελεῖν ἐπειράθην,

(1) Οἶμαι δ' αὐτόν ἔγωγε καὶ τὴν γραφομένην ἡμῶν γλῶσσαν φεύγειν καὶ τῇ δημώδει χρῆσθαι μᾶλλον δὲ καταχρῆσθαι καὶ διαφθείρειν, οὐ μόνον ὅτι τὴν γραφομένην οὐχ οἷός τ' ἐστὶ καλῶς χρῆσθαι, ἀλλὰ καὶ τοῦδ' ἕνεκα, ἵνα συνιῆτε μὲν ὑμεῖς τῶν λεγομένων μηδὲ ἕν, μηδ' ἐξελέγχειν δύνησθε ἀλλὰ θαυμάζητε τὰ ξένα καὶ ἄγνωστα, ἀποτρῖψαι δ' ἡμεῖς θέλοντες τὴν μετὰ πολλοῦ κόμπου προφερομένην ψευδῆ διδασκαλίαν καὶ τὰ αὐτῷ ἐσφαλμένα καταδεικνύντες καὶ ἐξελέγχοντες πολλάκις περὶ αὐτοῦ διαλαμβάνωμεν καὶ περιβόητον αὐτὸν οὕτω καταστήσωμεν. «Θέλει γάρ, φησίν, δόξα καὶ γροθιές» (Ταξειδ. 4).

διὰ ταῦτα ἐμὲ τοῖς ἑαυτοῦ βουλεύμασιν ἐμποδὼν ἡγησάμενος, ἀπὸ πολλῶν ἐτῶν σφόδρα μισεῖ καὶ πάντα κινεῖ κάλων ἐπὶ τῷ ἐμῷ ὀλέθρῳ κατηγορῶν καὶ διαβάλλων τἀμὰ οὐδενὶ ξὺν νῷ καὶ μέτρῳ.

Τῆς ἀκολάστου καὶ ἀδίκου γλώσσης ταύτης φής, ὦ κράτιστε, μεταμέλειν ἤδη τῷ Ψυχάρι καὶ τὴν πλάνην ἐγνωκέναι «polémique intempestive, dont le ton s'écarte constamment de celui de la pure controverse scientifique... je suis persuadé, qu'à l'heure actuelle M. Psicari **a déjà reconnu son erreur et qu'il n'y retombera plus** . . . . ». Εὐχῆς ἔργον ἂν εἴη τοῦτο, ἐγὼ δέ τις οὐ ταχυπειθής, ἢ ἀληθέστερον εἰπεῖν ἔγωγε παρακολουθήσας ἐπὶ πολὺ τῇ φύσει τοῦ ἀνθρώπου οὐδεμίαν ἔχω τούτου ἐλπίδα. Ὅπου γὰρ ἄνθρωπος οὐδὲν κακὸν παθὼν ἢ ἀκούσας πρότερον, πολλὰ δὲ καὶ καλά, ὡς αὐτὸς ἔφασκεν, ὑπ' ἐμοῦ διδαχθείς, οὕτως ἀναιτίως, ὡς ἑόρακας, ἐπεχείρησε μὲν πρὸ ἐννέα ὅλων ἐτῶν ἀδικεῖν με καὶ διασύρειν, οὐδένα δὲ καιρὸν οὐδ' ὥραν παρέλιπεν μέχρι τοῦδε ἀλλ' ἀεὶ τοῦ ἔργου ἔχεται καὶ ὡς ὁρᾷς θυμοειδέστερον καὶ ἀπανθρωπότερον εἰς τὸν ἀγῶνα χωρεῖ καὶ ἵνα κατὰ Σοφοκλέα εἴπω, τὸ κακὸν ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται, πῶς ἂν οὗτος παύσαιτο καὶ ἀπαλλαγείη τῆς μαινάδος νόσου; Ἐγὼ μὲν μὰ Δί' οὐκ ἔχω εἰπεῖν, οἶμαι δὲ οὐδὲ σέ.

Διὰ ταῦτα, ὦ βέλτιστε, ἐγὼ μὲν ὡς τεθνηκότος ἤδη τἀνθρώπου τὸ λοιπὸν βασεῦμαι ἐμὰν ὁδόν, ποίει δὲ καὶ σὺ ὁμοίως, καὶ ἐάσωμεν τὸν ἄνθρωπον μακρὰ μᾶλλον δ' ἐςαεὶ χαίρειν.

Ἔρρωσο.



ΒΙΒΛΙΟΚΡΙΣΙΑ

Plutarchi Pythici dialogi tres. Recensuit Gulielmus R. Paton. Berolini apud Weidmannos MDCCCXCIII.

Τῶν τοῦ Πλουτάρχου ἠθικῶν καλουμένων συγγραμμάτων μόνον φιλολογικαὶ ἐκδόσεις ἔχουσι λόγον ὑπάρξεως, τ. ἔ. τοιαῦται αἵτινες πρὸς τῷ κειμένῳ ὡς ἀκριβέστατα πρὸς τὰ γνησιώτατα τῶν ἀντιγράφων παρεξητασμένῳ παρέχουσι τοῦτο μὲν πληρεστάτην ἀναγραφὴν τῶν τε ἐν τοῖς ἀντιγράφοις παραλλασσουσῶν γραφῶν καὶ τῶν εἰς τὴν τοῦ κειμένου διόρθωσιν συμβολῶν τῶν νεωτέρων φιλολόγων, τοῦτο δὲ τὴν περὶ τῆς πρὸς ἄλληλα σχέσεως καὶ τῆς σχετικῆς ἀξίας τῶν ἀντιγράφων ἠτιολογημένην γνώμην τοῦ ἐκδότου. Ἔκδοσις δὲ οὐδὲν ἄλλο παρέχουσα ἢ κείμενον μὲν ὁποθενδήποτε ὠνθυλευμένον, ἐν δὲ ταῖς σημειώσεσιν ἀπάνθισμα γλίσχρον, οἱονεὶ γεύματος χάριν, τῶν τε ἐν τοῖς ἀντιγράφοις γραφῶν καὶ τῶν νεωτέρων εἰκασιῶν, τοῖς μὲν φιλολόγοις δὲν ἐξαρκεῖ, τοῖς δὲ χαριεστέροις τῶν ἰδιωτῶν εἶναι ἄχρηστος, διότι οἱ τοιοῦτοι μόλις πλησιάζουσι τοιούτοις συγγράμμασιν, οἷα τὰ πλείω τῶν Πλουταρχείων Ἠθικῶν. Διὰ τοῦτο ὅσον ἀπήρεσεν ἡμῖν ἡ παρὰ Teubner νεωτάτη τῶν Ἠθικῶν ἔκδοσις, ἅτε πᾶν ἄλλο οὖσα ἢ φιλολόγοις χρήσιμος (1), τοσοῦτον εὐηρέστησεν ἡμῖν ἡ πρὸ μικροῦ ἐν

(1) Μηδεὶς θεωρήσῃ τοιαύτην τὴν ἔκδοσιν ταύτην ἀποβλέπων εἰς τὸν τοῦ α′ τόμου ἀδιέξοδον πρόλογον, ἐν ᾧ ὁ ἐκδότης αὐτὸ τοῦτο πολλὰ τὸν ἀναγνώστην διδάσκει ἀφθόνως διὰ φθόνον, ὅπως ἀκούων πολλὰ μηδὲ ἓν μάθῃ. Τοῦτ᾽ αὐτὸ μαρτυρεῖ ὁ Βερναρδάκης αὐτὸς σελ. LV, ἔνθα ὁμολογῶν ὅτι ἡ ὑπ᾽ αὐτοῦ γενομένη κατ᾽ ἐκλογὴν ἀναγραφὴ τινῶν τῶν ἐν τοῖς ἀρίστοις ἀντιγράφοις γραφῶν δὲν ἐξαρκεῖ iudicanti quantum quisque valeat et quae inter singulos necessitudo intercedat αἰτιολογεῖ τὴν ἔλλειψιν λέγων ὅτι eius modi pertractatio huius praefationis non est. Καὶ ὅμως ἡ praefatio αὕτη σύγκειται ἐξ 93 σελίδων, αἷς ἐὰν προστεθῶσι καὶ αἱ τῶν τοῦ 6′ καὶ δ′ τόμου προλόγων σελίδες, ὧν οὐδεὶς ἄλλος σκοπὸς ἢ ὁ τοῦ Willamovitz διασυρμός, γίνεται τὸ ὅλον σελ. 163, αἵτινες θὰ ἐξήρκουν εἰς πλήρη καταχωρισμὸν τῶν εἰρημένων γραφῶν, ὧν ἡ γνῶσις θὰ ἦτο ἡμῖν πολὺ χρησιμωτερα τῶν de omni re scibili ἀπεραν-

Βερολίνῳ γενομένη ἔκδοσις τριῶν τῶν Πυθικῶν τοῦ Πλουτάρχου λόγων ὑπ' ἀνδρὸς οὐχὶ νῦν τὸ πρῶτον εἰς τὸ στάδιον τῆς Πλουταρχείου κριτικῆς εἰσερχομένου, ἀλλ' ἤδη γνωριμωτάτου τοῖς περὶ ταύτην διατρίβουσι, τοῦ William Paton. Διότι ἡ ἔκδοσις αὕτη πληροῖ πάντας τοὺς ὅρους ἀληθοῦς διορθώσεως, ὁ ταύτην δ' ἔχων ἔχει σχεδὸν πᾶν οὗτινος χρήζει πρὸς τὴν μετὰ φιλολογικῆς ἀκριβείας μελέτην τῶν προκειμένων Πυθικῶν λόγων. Διὰ τοῦτο δὲν κρίνομεν ἀνωφελὲς διὰ μακροτέρων νὰ διαλάβωμεν ἐν τῇ Ἀθηνᾷ περὶ ἑνὸς τῶν τριῶν ὑπὸ τοῦ Paton ἐκδεδομένων διαλόγων τοῦ «περὶ τοῦ *E* τοῦ ἐν Δελφοῖς» ἀκριβέστερόν πως ἐξετάζοντες τὴν περὶ τὴν ἔκδοσιν τοῦ διαλόγου τούτου ἐργασίαν τοῦ ἐκδότου, ἱκανὴν νομίζοντες ἔν γε τῷ παρόντι τὴν διάληψιν ταύτην πρὸς τὸν τῆς ὅλης ἐκδόσεως χαρακτηρισμόν.

